Ἀνδρῶν δ' αἰνεῖν τοῦτον, ὃς ἐσθλὰ πιὼν ἀναφαίνει.....
Θεῶν δὲ προμηθείην αἰὲν ἔχειν ἀγαθήν.

193) Athen. XII, p. 526, A, B.

194) Athen. X, s. 6, p. 413 sq. *Ταῦτ᾽ εἴληφεν ὁ Εὐριπίδης ἐκ τῶν τοῦ Κολοφωνίου ἐλεγείων Ξενοφάνους, οὕτως εἰρηκότος·*

Ἀλλ᾽ εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο
Ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
Πὰρ Πίσαο ῥοῇς ἐν Ὀλυμπίῃ, εἴτε παλαίων,
Ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
Εἴτε τὸ δεινὸν ἄεθλον, ὃ παγκράτιον καλέουσιν,
Ἀστοῖσίν κ᾽ εἴη κυδρότερος προςορᾶν,
Καί κε προεδρίην φανετὴν ἐν ἀγῶσιν ἄροιτο,
Καί κεν σῖτ᾽ εἴη δημοσίων κτεάνων
Ἐκ πόλεως, καὶ δῶρον, ὃ οἱ κειμήλιον εἴη·
Εἴτε καὶ ἵπποισιν ταῦτά χ᾽ ἅπαντα λάχοι,
Οὐκ ἐοὶ ἄξιος, ὥσπερ ἐγώ. Ῥωμης γὰρ ἀμείνων
Ἀνδρῶν ἠδ᾽ ἵππων ἡμετέρη σοφίη.
Ἀλλ᾽ εἰκῆ μάλα τοῦτο νομίζεται, οὐδὲ δίκαιον
Προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης ...,...

Πολλὰ δὲ καὶ ἄλλα ὁ Ξενοφάνης κατὰ τὴν ἑαυτοῦ σοφίαν ἐπαγωνίζεται, διαβάλλων ὡς ἄχρηστον καὶ ἀλυσιτελὲς τὸ τῆς ἀθλήσεως εἶδος.

195) Aristot. metaph. I, 5, p. 846 c.: *Ξενοφάνης — ὁ γὰρ Παρμενίδης τούτου λέγεται μαθητής.* Clem. Alex. Strom. I, p. 301 c.: *τῆς Ἐλεατικῆς ἀγωγῆς Ξενοφάνης κατάρχει ..... Παρμενίδης τοίνυν Ξενοφάνους ἀκουστὴς γίνεται.* Theophrast. bei Simplic. phys. fol. 6, A: *Ξενοφάνην τὸν Κολοφώνιον τὸν Παρμενίδου διδάσκαλον.* Suidas: *Παρμενίδης, Ἐλεάτης, φιλόσοφος· μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου.*

196) Scholiast. ad Aristoph. Pac. vs. 696: *Ὁ Σιμωνίδης διεβέβλητο ἐπὶ φιλαργυρίᾳ, ὅθεν Ξενοφάνης κίμβικα αὐτὸν προσαγορεύει.* Es hat also bei den grossen Männern des Alterthums eben so stark „gemenschelt", wie bei uns, und die Zeitgenossen liebten einander, wie bei uns.

197) Diogen. Laert. IX, 20: *Φησὶ δὲ ὁ Φαληρεὺς Δημήτριος ἐν τῷ περὶ γήρως, καὶ Παναίτιος ὁ Στωϊκὸς ἐν τῷ περὶ εὐθυμίας, ταῖς ἰδίαις χερσὶ θάψαι τοὺς υἱεῖς αὐτόν, καθάπερ καὶ Ἀναξαγόραν. Δοκεῖ δὲ πεπάσθαι* (von *πατέομαι*, kosten, speisen = *τετράφθαι*, welches Karsten emendiren will, statt des ganz sinnlosen *πεπρᾶσθαι*; dass aber die Deponentia im Perfect sowohl aktive als passive Bedeutung haben, ist bekannt; s. Matth. gr. Gr. II, p. 931, e; *πεπά-*

σθαι heisst also hier gespeist, ernährt werden) ὑπὸ τῶν Πυθαγορικῶν Παρμενίσκου καὶ Ὀρεστάδου, καθά φησι Φαβωρῖνος ἐν ἀπομνημονευμάτων πρώτῳ. Beide Namen kommen auch bei Jamblich im Verzeichniss der Pythagoriker vor, und von Parmeniscus sagt Athen. XIV, p. 614, er sei ein reicher Metapontiner von vornehmem Geschlecht gewesen, indem er von ihm die bekannte Geschichte erzählt, wie er in der Höhle des Trophonius das Lachen verloren und im Letoon zu Delos wiedergefunden habe.

198) Athen. V, p. 220.

199) Diogen. Laert. VIII, 56: Ἕρμιππος δέ (φησι τὸν Ἐμπεδοκλέα) Ξενοφάνους γενονέναι ζηλωτήν· ᾧ καὶ συνδιατρίψαι καὶ μιμήσασθαι τὴν ἐποποιίαν. Die dem Empedokles gegebene witzige Antwort des Xenophanes berichtet Diog. Laert. IX, 20: Ἐμπεδοκλέους δὲ εἰπόντος αὐτῷ, ὅτι ἀνεύρετός ἐστι ὁ σοφός, Εἰκότως, ἔφη· σοφὸν γὰρ εἶναι δεῖ τὸν ἐπιγνωσόμενον τὸν σοφόν.

200) Xenophanes wird von Diogen. Laert. I, 15 sogar zum Schuler des Telauges gemacht und die italische Schule so abgeleitet: Φερεκύδους (διήκουσε) Πυθαγόρας, οὗ Τηλαύγης ὁ υἱός, οὗ Ξενοφάνης, οὗ Παρμενίδης etc.

201) So citirt es Stob. Ecl. phys. I, p. 294; ebenso Polluc. Onomast. VI, 46. Plutarch de Pyth. orac. pag. 402, E, nennt den Xenophanes daher mit Orpheus, Hesiod, Thales, Parmenides, Empedokles unter den philosophischen Lehrdichtern.

202) Euseb. can. chron. ad Olymp. 60, a. 2: Φωκυλίδης καὶ Ξενοφάνης φυσικὸς τραγῳδοποιὸς (als Physiker und Dithyrambendichter) ἐγνωρίζετο.

203) Diogen. Laert. IX, 20: Ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα.

204) Origen. philos. X, 6 sq. p. 312, Mill. Ὁ δὲ Ξενοφάνης μίξιν τῆς γῆς πρὸς τὴν θάλασσαν γενέσθαι δοκεῖ καὶ τῷ χρόνῳ ἀπὸ τοῦ ὑγροῦ λύεσθαι, φάσκων τοιαύτας ἔχειν ἀποδείξεις· ὅτι ἐν μέσῃ γῇ καὶ ὄρεσιν εὑρίσκονται κόγχαι, καὶ ἐν Συρακούσαις δὲ ἐν ταῖς λατομίαις λέγει εὑρῆσθαι τύπον ἰχθύος καὶ φωκῶν, ἐν δὲ Πάρῳ τύπον ἀφύης ἐν τῷ βάθει τοῦ λίθου, ἐν δὲ Μελίτῃ πλάκας συμπάντων θαλασσίων etc.

205) Diog. Laert. VIII, s. 36: *Περὶ δὲ τοῦ ἄλλοτε ἄλλον γεγενῆσθαι* (nach der pythagoreischen Palingenesie- und Seelenwanderungslehre) *Ξενοφάνης ἐν ἐλεγείᾳ προσμαρτυρεῖ, ἧς ἀρχή· Νῦν οὖν τ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον. Ὃ δὲ περὶ αὐτοῦ φησιν, οὕτως ἔχει·*

Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
Φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος·
Παῦσαι, μηδὲ ῥάπιζ'· ἐπειὴ φίλου ἀνέρος ἐστὶ
Ψυχὴ, τὴν ἔγνων φθεγξαμένης ἀΐων.

206) Gesammelt von Karsten: philos. gr. vett. reliquiae, Vol. Im: Xenophanis Colophonii Carmin. reliquias. cont. Bruxellis 1830.

207) In seinem Buche de Xenophane, Zenone et Gorgia in 6 Kapiteln. Es ist in einem sehr verderbten Zustand auf uns gekommen, und in den gewöhnlichen Ausgaben und Handschriften sind die Titel der beiden ersten Abschnitte unrichtig. Die bessern Handschriften, insbesondere die beste derselben, der Leipziger Codex, berichtigen aber diesen Fehler, und nach ihnen betreffen die zwei ersten Kapitel den Zeno, das dritte und vierte den Xenophanes, das fünfte und sechste den Gorgias. Mit diesen so berichtigten Ueberschriften stimmt nun auch der Inhalt, und es ist nicht der mindeste Grund vorhanden, von diesen überlieferten Angaben abzuweichen, und z. B. die ersten Kapitel auf den Melissus, oder das dritte und vierte Kapitel statt auf Xenophanes auf den Zeno zu beziehen etc. Die Schrift selbst ist nicht ausgearbeitet, sondern eine blose Studien-Skizze, ein bei der Lektüre für das Gedächtniss gemachter Auszug, mit beigefügten Einwürfen nnd Gegengründen, wie sie sich unter dem Lesen einem benrtheilenden Denker aufdrängen; commentarius, sagt Karsten, ex eo genere, quod hypomnematicum dictum, memoriae tantum causa litteris solebat mandari; in his commentariis praesertim antiquiòrum opiniones consignare consueverant. De quo genere insignts est locns Ammonii Hermiae *περὶ ἑρμην.* (ed. Ald. 1503) Litt. A A, fol. 2: *ὑπομνηματικὰ δὲ ἐκεῖνα (συγγράμματα) καλοῦσιν, ὅσα πρὸς οἰκείαν ἀπεσημειοῦντο ὑπόμνησιν. εἰώθεσαν δὲ οἱ παλαιοὶ τὰ τῶν ἀρχαιοτέρων ἀναγινώσκοντες συγγράμματα, ἀποσημειοῦσθαι αὐτῶν τὰς περὶ ἑκάστου πράγματος δόξας καὶ τὰ ἐπιχειρήματα τὰ τούτων κατασκευαστικὰ .... ὡς ὕλην τῶν οἰκείων συγγραμμάτων.*

208) Aristot. de Xen. Zen. et Gorg. c. 3. (T. I, p. 942 ed. Casaub.) *Ἀδύνατόν φησιν εἶναι, εἴ τι ἔστι, γενέσθαι· τοῦτο λέγων*

ἐπὶ τοῦ θεοῦ. Ἀνάγκη γάρ, ἤτοι ἐξ ὁμοίων ἢ ἐξ ἀνομοίων γενέσθαι τὸ γενόμενον. Δυνατὸν δὲ οὐδέτερον. Οὔτε γὰρ ὅμοιον ὑφ' ὁμοίου προσήκειν τεκνωθῆναι μᾶλλον ἢ τεκνῶσαι. ταὐτὰ ἅπαντα τοῖς γε ἴσοις ὁμοίως ὑπάρχειν πρὸς ἄλληλα. Οὔτ' ἂν ἐξ ἀνομοίου τὸ ἀνόμοιον γενέσθαι· εἰ γὰρ γίγνοιτο ἐξ ἀσθενεστέρου τὸ ἰσχυρότερον, ἢ ἐξ ἐλάττονος τὸ μεῖζον, ἢ ἐξ χείρονος τὸ κρεῖττον, ἢ τοὐναντίον τὰ χείρω ἐκ τῶν κρειττόνων, τὸ ὂν ἐξ οὐκ ὄντος ἂν γενέσθαι· ὅπερ ἀδύνατον. ἀΐδιον μὲν οὖν διὰ ταῦτ' εἶναι τὸν θεόν. Ebenso Theophrast bei Simplic. Comment. in Aristot. phys. fol. 6, A: Μίαν δὲ τὴν ἀρχὴν ἤτοι ἓν τὸ ὂν καὶ πᾶν ..... Ξενοφάνην ὑποτίθεσθαί φησιν ὁ Θεόφραστος. Ἀγένητον δὲ ἐδείκνυεν (τὸν θεὸν ὁ Ξενοφάνης) ἐκ τοῦ δεῖν τὸ γιγνόμενον ἢ ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γίγνεσθαι· ἀλλὰ τὸ μὲν ὅμοιον ἀπαθές φησιν ὑπὸ τοῦ ὁμοίου· οὐδὲν γὰρ μᾶλλον γεννᾶν ἢ γεννᾶσθαι προσήκει τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου· εἰ δ' ἐξ ἀνομοίου γίγνοιτο, ἔσται τὸ ὂν ἐκ τοῦ μὴ ὄντος. Καὶ οὕτως ἀγένητον καὶ ἀΐδιον ἐδείκνυ. Dagegen sagt Aristot. l. l. c. 4 init.: Ἔτι οὐδὲν μᾶλλον ὁ θεὸς ἀγένητος, ἢ καὶ τἆλλα πάντα, εἴπερ ἅπαντα ἐξ ὁμοίου ἢ ἀνομοίου γέγονεν· ὅπερ ἀδύνατον.

209) Arist. de Xenoph., Zen. et Gorg. c. 3, l. l.: ὁ θεὸς ἁπάντων κράτιστον, ... κράτιστον καὶ βέλτιστον ἁπάντων .... τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι, κρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι, καὶ πάντων κράτιστον εἶναι· ὥστε καθὸ μὴ κρεῖττον κατὰ τοσοῦτον οὐκ εἶναι θεόν ... πεφυκέναι γὰρ θεὸν μὴ κρατεῖσθαι .... θεοῦ φύσις, δεῖν εἶναι κράτιστον. Diese Sätze kommen bei Aristoteles als Fundamental-Sätze des Beweises für die Einheit Gottes vor; gerade dies spricht aber dafür, dass sie bei Xenophanes schon im Vorausgehenden aufgestellt worden waren; wenigstens fordert dies der logische Zusammenhang. Ebenso Theophrast bei Simpl. l. l.: τὸ δὲ πάντων κράτιστον καὶ ἄριστον θεός.

210) Aristot. de Xenoph. Zen. et Gorg. c. 3, l. l.: Εἰ δ' ἐστὶν ὁ θεὸς ἁπάντων κράτιστον, ἕνα φησὶν αὐτὸν προσήκειν εἶναι. Εἰ γὰρ δύο, ἢ ἔτι πλείους εἶεν, οὐκ ἂν ἔτι κράτιστον καὶ βέλτιστον αὐτὸν εἶναι πάντων· ἕκαστος γὰρ ἂν θεὸς τῶν πολλῶν ὅμοιος ὤν, τοιοῦτος εἴη. τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι, κρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι· καὶ πάντων κράτιστον εἶναι· ὥστε καθὸ μὴ κρεῖττον κατὰ τοσοῦτον οὐκ εἶναι θεόν. Πλειόνων οὖν ὄντων, εἰ μὲν εἶεν τὰ μὲν ἀλλήλων κρείττους τὰ δὲ ἥττους, οὐκ ἂν εἶναι θεούς·

πεφυκέναι γὰρ θεὸν μὴ κρατεῖσθαι. Ἴσων δὲ ὄντων, οὐκ ἂν ἔχειν θεοῦ (statt des gewöhnlichen *θεὸν*) *φύσιν δεῖν εἶναι κράτιστον· τὸ δὲ ἴσον οὔτε χεῖρον οὔτε βέλτιον εἶναι τοῦ ἴσου. Ὥστε εἴπερ εἴη τε καὶ τοιοῦτον εἴη θεὸς, ἕνα μόνον εἶναι τὸν θεόν· οὐδὲ γὰρ οὐδὲ πάντα δύνασθαι ἂν ἃ βούλοιτο, οὐδὲ ἓν* (wie es der Gegensatz zu *πάντα* erheischt, statt des sinnlosen *γὰρ*) *ἂν δύνασθαι, πλειόνων ὄντων, ἕνα μόνον.* (Weiter ist Nichts zu ändern.) Ebenso Theophrast bei Simpl. phys. l. l. *Τὸ γὰρ ἓν τοῦτο καὶ πᾶν τὸν θεὸν ἔλεγεν ὁ Ξενοφάνης· ὃν ἕνα μὲν δείκνυσιν ἐκ τοῦ πάντων κράτιστον εἶναι· πλειόνων γάρ φησιν ὄντων, ὁμοίως ἀνάγκη ὑπάρχειν πασι τὸ κρατεῖν· τὸ δὲ πάντων κράτιστον καὶ ἄριστον θεός.*

211) Siehe Aristoteles l. l.: *οὐδὲ γὰρ πάντα δύνασθαι ἄν, ἃ βούλοιτο* etc.

212) In den bekannten Versen:

Ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κραταίνει.
Οὖλος ὁρᾷ, οὖλος δὲ νοεῖ, οὖλος δέ τ' ἀκούει.

deren erster bei Simpl. in Arist. phys. fol. 6, der zweite bei Sext. Empir. adv. Mathem. IX, s. 144 erhalten ist. Hiermit stimmt nun auch die Angabe der Alten: Cic. de nat. Deor. I, 11, 28: mente adjuncta omne . . . . . Deum voluit esse. Sext. Pyrrh. I, 225: *εἶναι δὲ* (*τὸν θεὸν*) *σφαιροειδῆ . . . . καὶ λογικόν.* Origen. philos. p. 18: *τὸν θεὸν εἶναι . . . . . σφαιροειδῆ και πᾶσι τοῖς μορίοις αἰσθητικόν.* Galen. hist. phil. c. 3: *ὑπάρχειν θεὸν . . . . . . λογικόν.*

213) Aristot. de Xenoph. Zen. et Gorg. c. 4 vers. fin. (p. 679, 20, ed. Didot.; p. 233 ed. Tauchn.): *Αὐτὸς* (*ὁ Ξενοφάνης*) *γὰρ σῶμα λέγει εἶναι τὸν θεὸν, εἴτε δὲ τόδε τὸ πᾶν, εἴτε τὸ ὂν δήποτε αὐτὸν λέγων* (statt der fehlerhaften Worte: *εἴτε ὅτι δήποτε αὐτὸς λέγων.* Die Emendation ergibt sich aus Sachgründen, denn neben dem *τόδε τὸ πᾶν* bleibt nur noch der Substanzbegriff: *τὸ ὄν*, als das durch *σῶμα* gemeinte Synonym übrig). *Ἀσώματος γὰρ ὢν πῶς ἂν σφαιροειδὴς εἴη; Ἐπεὶ δὲ σῶμά ἐστι, τί ἂν αὐτὸν κωλύει κινεῖσθαι ὡς ἐλέχθη* (i. e. *κυκλωθῆναι*); ebenso p. 231, oben: *σῶμά γε καὶ ἔχων μέγεθος* etc.

214) Platon. Sophist. p. 242, D: *τὸ δὲ παρ' ἡμῖν Ἐλεατικὸν ἔθνος, ἀπὸ Ξενοφάνους τε καὶ ἔτι πρόσθεν ἀρξάμενον, ὡς ἑνὸς ὄντος τῶν πάντων καλουμένων διεξέρχεται τοῖς μύθοις.*

215) Aristotel. metaphys. I, 5, 986, b. 18: *Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην· Ξενοφάνης δὲ πρῶτος τούτων ἑνίσας οὐθὲν διεσαφήνισεν, οὐδὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι τὸν θεόν.*

216) Simplic. in Arist. phys. f. 6 A: *Μίαν δὲ τὴν ἀρχὴν ἤτοι ἓν τὸ ὂν καὶ πᾶν Ξενοφάνην τὸν Κολοφώνιον τὸν Παρμενίδου διδάσκαλον ὑποτίθεσθαί φησιν ὁ Θεόφραστος, ὁμολογῶν, ἑτέρας εἶναι μᾶλλον ἢ τῆς περὶ φύσεως ἱστορίας τὴν μνήμην τῆς τούτου δόξης· τὸ γὰρ ἐν τουτο καὶ πᾶν τὸν θεὸν ἔλεγεν ὁ Ξενοφάνης.*

217) Bei Sext. Empir. Pyrrh. I, 224:

ὅππη γὰρ ἐμὸν νόον εἰρύσαιμι,
εἰς ἓν ταὐτό τε πᾶν ἀνελύετο· πᾶν δὲ ὂν αἰεὶ
πάντη ἀνελκόμενον μίαν εἰς φύσιν ἵσταθ' ὁμοίαν.

218) Sext. Empir. Pyrrh. I, 225: *Ἐδογμάτιζε δὲ ὁ Ξενοφάνης παρὰ τὰς τῶν ἄλλων ἀνθρώπων προλήψεις, ἓν εἶναι τὸ πᾶν, καὶ τὸν θεὸν συμφυῆ τοῖς πᾶσι.*

219) Cic. Acad. IV, 37, 118: Xenophanes .... unum esse omnia .... et id esse deum, neque natum unquam, et sempiternum; ebenso de nat. Deor. I, 11, 28: tum Xenophanes, qui, mente adjuncta, omne praeterea, quod esset infinitum, Deum voluit esse.

220) Galen. hist. phil. c. 3, p. 234: *Ξενοφάνην μὲν περὶ πάντων ἠπορηκότα, δογματίσαντα δὲ μόνον, εἶναι πάντα ἓν καὶ τοῦτο ὑπάρχειν θεόν.*

221) Aristot. de Xenoph. Zen. et Gorgia c. 3. l. l.: *Ἕνα δ' ὄντα ὅμοιον εἶναι πάντῃ, ὁρᾶν τε καὶ ἀκούειν τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντῃ.* Oder wie Diogen. Laert. IX, 19 sagt: *σύμπαντά τ' εἶναι νοῦν καὶ φρόνησιν.* (Aus dieser Stelle des Lehrgedichtes ist also der in Note 212 citirte und bei Sext. Empir. erhaltene Vers: *Οὗλος ὁρᾷ, οὗλος δὲ νοεῖ, οὗλος δέ τ' ἀκούει.* Dies ist zugleich ein schlagender und unwidersprechlicher Beweis, dass c. 3 und 4 des Aristotelischen Auszuges aus dem Lehrgedichte des Xenophanes herrühren und dass die Ueberschriften des Leipziger Codex demgemäss richtig sind.) *Εἰ γὰρ μὴ, κρατεῖν ἂν καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων τὰ μέρη, θεοῦ ὄντα. ὅπερ ἀδύνατον.*

222) Der oben Note 212 schon citirte und bei Simpl. phys. f. 6 erhaltene Vers: Ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κραταίνει; denn so, κραταίνει, muss wohl statt des gewöhnlichen κραδαίνει geschrieben werden, da κραταίνω eine auch bei Aeschylus vorkommende Nebenform von κρατύνω, confirmare, stabilire, gubernare ist, κραδαίνω dagegen vibrare, jactare bedeutet, was nicht in den Zusammenhang passt. Eben so Diog. Laert. IX, 19: ἔφη δὲ καὶ τὰ πολλὰ ἥσσω νοῦ εἶναι.

223) Aristot. de Xenoph. Zen. et Gorg. c. 3 (p. 229 oben): Ἄπειρον γὰρ τὸ μὴ ὂν εἶναι· τοῦτο γὰρ οὔτε μέσον οὔτε ἀρχὴν καὶ τέλος οὔτε ἄλλο μέρος οὐδὲν ἔχειν· τοιοῦτον δὲ εἶναι τὸ ἄπειρον.

224) Diog. Laert. IX, 2, s. 19.

225) Arist. de Xenoph. Zen. et Gorg. c. 3 (p. 228 unten): Πάντῃ δ' ὅμοιον ὄντα, σφαιροειδῆ εἶναι· οὐ γὰρ τῇ μὲν, τῇ δ' οὐ τοιοῦτον εἶναι, ἀλλὰ πάντῃ.

226) Arist. de Xenoph. Zen. et Gorg. c. 4 vers. fin.: Ἀσώματος γὰρ ὢν (ὁ θεὸς), πῶς ἂν σφαιροειδὴς εἴη;

227) Arist. de Xenoph. Zen. et Gorg. c. 4, med. (pag. 230 unten): Ἔτι τοιοῦτος ὢν, διὰ τί σφαιροειδὴς ἂν εἴη, ἀλλ' οὐχ, ἑτέραν τινὰ μᾶλλον ἔχων ἰδέαν, πάντῃ ἀκούει καὶ πάντῃ κρατεῖ; (so muss durch Streichung der beiden ὅτι emendirt werden und dann gibt es einen einfachen und klaren Sinn.) ὥσπερ ὅταν λέγωμεν τὸ ψιμμύθιον, ὅτι πάντῃ ἐστὶ λευκὸν, οὐδὲν ἄλλο τι σημαίνομεν, ἢ ὅτι ἐν ἅπασιν αὐτοῦ τοῖς μέρεσιν ἐγκέχρωσται ἡ λευκότης. τί δὴ κωλύει οὕτω κἀκεῖ τὸ πάντῃ ὁρᾶν καὶ ἀκούειν καὶ κρατεῖν λέγεσθαι, ὅτι ἅπαν ὃ ἄν τις αὐτοῦ λαμβάνῃ μέρος, τοῦτ' ἔσται πεπονθός; ὥστε (dies verlangt die logische Konklusion statt des hinkenden ὥσπερ) οὐδὲ τὸ ψιμμύθιον, οὐδὲ τὸν θεὸν ἀνάγκη διὰ τοῦτο εἶναι σφαιροειδῆ.

228) Aristot. de Xenoph. Zen. et Gorg. c. 3 (p. 229): Ἀΐδιον δ' ὄντα καὶ ἕνα καὶ σφαιροειδῆ, οὔτ' ἄπειρον, οὔτε πεπεράσθαι· ἄπειρον μὲν τὸ μὴ ὂν εἶναι, τοῦτο γὰρ οὔτε μέσον, οὔτε ἀρχὴν καὶ τέλος, οὔτε ἄλλο μέρος οὐδὲν ἔχειν. τοιοῦτον δὲ εἶναι τὸ ἄπειρον. Οἷον δὲ τὸ μὴ ὂν, οὐκ ἂν εἶναι τὸ ὄν. Περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἴη· τὸ δὲ ἓν οὔτε τῷ οὐκ ὄντι, οὔτε τοῖς πολλοῖς ὁμοιοῦσθαι· ἓν γὰρ οὐκ ἔχει πρὸς ὅ τι περανεῖ. Eben so

Theophrast. bei Simpl. phys. fol. 6: *Καὶ οὔτε δὲ ἄπειρον οὔτε πεπερασμένον εἶναι· διότι ἄπειρον μὲν τὸ μὴ ὄν, ὡς οὔτε ἀρχὴν ἔχον μήτε μέσον μήτε τέλος· περαίνει δὲ πρὸς ἄλληλα τὰ πλείω.*

229) Aristot. de Xenoph. Zen. et Gorg. c. 4 (p. 231 unten): *Ἴσως δὲ ἄτοπον καὶ τὸ προςάπτειν τῷ μὴ ὄντι ἀπειρίαν· οὐ γὰρ πᾶν, εἰ μὴ ἔχει πέρας, ἄπειρον λέγομεν· ὥςπερ οὐδ' ἄνισον οὐκ ἂν φαῖμεν εἶναι τὸ μὴ ὄν.*

230) Aristot. de Xenoph. Zen. et Gorg. c. 4 (p. 231 med.): *Ἔτι δὲ σφαιροειδῆ ὄντα ἀνάγκη πέρας ἔχειν. ἔσχατα γὰρ ἔχει, εἴπερ μέσον ἔχει αὐτοῦ τοῦ πλεῖστον ἀπέχειν· μέσον δ' ἔχει, σφαιροειδὲς ὄν, ἐκ τοῦ μέσου ὁμοίως πέριξ* (statt des sinnlosen *πυρὸς* oder der ungenügenden Emendation *πρὸς*) *τὰ ἔσχατα· σῶμα δ' ἔσχατα ἢ πέρατα ἔχειν, οἷον διαφέρει;* ferner p. 232 oben: *Ἔτι τί κωλύει πεπεράνθαι καὶ ἔχειν πέρατα ἓν ὄντα τὸν θεόν; τὸ γὰρ πέρας τινὸς μὲν ἀνάγκη ἴσως εἶναι, οὐ μέντοι πρός τι γε, οὐδὲ ἀνάγκη τὸ ἔχον πέρας πρός τι ἔχειν πέρας· ἀλλ' ἔστι τὸ πεπεράνθαι ἔσχατα ἔχειν· ἔσχατα δ' ἔχον, οὐκ ἀνάγκη πρός τι σχεῖν.*

231) Aristot. de Xenoph. Zen. et Gorg. c. 4 (p. 231 unten): *Ἔτι* (*οὐκ* wird besser gestrichen, auch wenn man es als fragend auffasst, da der Nachsatz in eine Frage nicht gut passt) *ὂν ἔχοι ὁ θεὸς πέρας εἷς ὤν, ἀλλ' οὐ πρὸς θεόν· εἰ δὲ ἓν μόνον ἐστὶν ὁ θεός, ἓν ἂν εἴη μόνον καὶ τὰ τοῦ θεοῦ μέρη. Εἴη δὴ* (dies fordert der logische Zusammenhang der Schlussfolgerung statt *ἐπειδὴ γὰρ*) *καὶ τοῦτ' ἄτοπον, εἰ τοῖς πολλοῖς συμβέβηκε πεπεράνθαι πρὸς ἄλληλα, διὰ τοῦτο τὸ ἓν μὴ ἔχειν πέρας· πολλὰ γὰρ τοῖς πολλοῖς καὶ τῷ ἑνὶ ὑπάρχει ταὐτά, ἐπεὶ καὶ τὸ εἶναι κοινὸν αὐτοῖς ἐστιν.*

232) Aristot. de Xenoph. Zen. et Gorg. c. 3, vers. fin. (pag. 229 med.): *Τὸ δὴ τοιοῦτον ὂν ἓν ὄν, τὸν θεὸν* (so ist wohl mit Streichung von *εἶναι* statt sonstiger Verbesserungen zu lesen und zu interpungiren), *λέγει οὔτε κινεῖσθαι οὔτε ἀκίνητον εἶναι. Ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν· οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον, οὔτε ἐκεῖνο εἰς ἄλλο ἐλθεῖν· κινεῖσθαι δὲ τὰ πλείω ὄντα ἑνός· ἕτερον γὰρ εἰς ἕτερον δεῖν κινεῖσθαι. Εἰς μὲν οὖν τὸ μὴ ὂν οὐδὲν ἂν κινηθῆναι, τὸ γὰρ μὴ ὂν οὐδαμῇ εἶναι. εἰ δὲ εἰς ἄλληλα μεταβάλλοι, πλείω ἂν αὐτὸν εἶναι ἑνός. Διὰ ταῦτα δὴ κινεῖσθαι μὲν ἂν τὰ δύο ἢ πλείω ἑνός, ἠρεμεῖν δὲ καὶ ἀκίνητον εἶναι τὸ οὐδέν. τὸ δὲ ἓν οὔτε ἀτρεμεῖν, οὔτε κινεῖσθαι, οὔτε γὰρ τῷ μὴ ὄντι οὔτε τοῖς πολλοῖς ὅμοιον εἶναι.*

233) Theophrast. bei Simplic. phys. fol. 6: *Παραπλησίως δὲ καὶ κίνησιν ἀφαιρεῖ καὶ τὴν ἠρεμίαν. ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν· οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον, οὔτε αὐτὸ πρὸς ἄλλο ἐλθεῖν. κινεῖσθαι δὲ τὰ πλείω τοῦ ἑνός, ἕτερον γὰρ εἰς ἕτερον μεταβάλλειν· ὥστε καὶ ὅταν ἐν ταὐτῷ μένειν λέγῃ καὶ μὴ κινεῖσθαι,*

αἰεὶ δ' ἐν ταὐτῷ τε μένειν κινούμενον οὐδὲν
οὐδὲ μετέρχεσθαί μιν ἐπιπρέπει ἄλλοτε ἄλλῃ,

οὐ κατὰ τὴν ἠρεμίαν τὴν ἀντικειμένην τῇ κινήσει μένειν αὐτόν φησιν, ἀλλὰ κατὰ τὴν ἀπὸ κινήσεως καὶ ἠρεμίας ἐξῃρημένην.

234) Cic. Academ. II, 23.

235) Athen. XIV, 632, D.

236) Aristot. de Xenoph. Zen. et Gorg. c. 4 (p. 232 med.): *Καὶ ἔτι ἆρα γε οὐ ταὐτὸ ἄν τι ὑπολάβοι τὸ μὴ κινεῖσθαι, καὶ τὸ ἀκίνητον εἶναι· ἀλλὰ τὸ μὲν ἀπόφασιν τοῦ κινεῖσθαι, — ὥσπερ τὸ μὴ ἴσον, ὅπερ καὶ κατὰ τοῦ μὴ ὄντος ἀληθές. — Τὸ δὲ ἀκίνητον τῷ ἔχειν, πῶς ἤδη λέγεσθαι* (s. Note 229), *ὥσπερ τὸ ἄνισον, καὶ ἐπὶ τῷ ἐναντίῳ τοῦ κινεῖσθαι, τῷ ἠρεμεῖν· ὡς καὶ σχεδὸν αἱ ἀπὸ τοῦ ά ἀποφάσεις ἐπὶ ἐναντίοις λέγονται. Τὸ μὲν οὖν μὴ κινεῖσθαι ἀληθὲς ἐπὶ τοῦ μὴ ὄντος· τὸ δὲ ἠρεμεῖν οὐχ ὑπάρχει τῷ μὴ ὄντι· ὁμοίως δὲ οὐδὲ ἀκίνητον εἶναι σημαίνει ταὐτὸν (τῷ ἠρεμεῖν), ἀλλ' ὅμως* (statt *οὗτος*) *ἐπὶ τῷ ἠρεμεῖν αὐτῷ χρῆται καί φησι τὸ μὴ ὂν ἠρεμεῖν, ὅτι οὐκ ἔχει μετάβασιν.*

237) Aristot. de Xenoph. Zen. et Gorg. c. 4 (p. 232 unten): *Ὅπερ καὶ ἐν τοῖς ἄνω εἴπομεν, ἄτοπον ἴσως, εἴ τι τῷ μὴ ὄντι προσάπτομεν, τοῦτο μὴ ἀληθὲς εἶναι κατὰ τοῦ ὄντος εἰπεῖν, ἄλλως τε κἂν ἀπόφασις ᾖ τὸ λεχθέν, ὧν καὶ τὸ μὴ κινεῖσθαι, μηδὲ μεταβαίνειν ἐστίν. πολλὰ γὰρ ἄν, καθάπερ καὶ ἐλέχθη, ἀφαιροῖτο τῶν ὄντων κατηγορεῖν. οὐδὲ γὰρ ἂν πολλὰ ἀληθὲς εἰπεῖν εἴη μὴ ἕν, εἴπερ τὸ μὴ ὄν ἐστι μὴ ἕν.*

238) Aristot. de Xenoph. Zen. et Gorg. c. 4 (p. 232 med.): *Πάλιν περὶ τοῦ ἀκίνητον εἶναι τὸ ἓν καὶ τὸ ὄν, ὅτι καὶ τὸ ὂν κινεῖται, ἴσως ὁμοίως τοῖς ἔμπροσθεν ἄτοπον.* p. 233: *Ἔτι εἰ καὶ διὰ τοῦτο μὴ κινεῖται ὁ θεός τε καὶ τὸ ἕν, ὅτι τὰ πολλὰ κινεῖται τῷ εἰς ἄλληλα ἰέναι, τί κωλύει καὶ τὸν θεὸν κινεῖσθαι; εἰς ἄλλο οὐδαμῶς, οὐχ ὅτι ἀκίνητος* (so ist zu interpungiren und zu emendiren), *ἀλλ' ὅτι εἷς μόνος θεός. Εἰ δὲ καὶ αὐτὸς* (sc. *ἀκίνητος*), *τί*

κωλύει, εἰς ἄλληλα κινουμένων τῶν μερῶν αὐτοῦ, κυκλωθῆναι; (so ist zu emendiren). Οὐ γὰρ δὴ τὸ τοιοῦτον ἕν, ὥςπερ ὁ Ζήνων, πολλά εἶναί φησι (statt φύσει); αὐτὸς γὰρ σῶμα λέγει εἶναι τὸν θεόν, εἴτε δὲ τόδε τὸ πᾶν εἴτε τὸ ὄν (so ist zu emendiren; s. oben Note 213) δήποτε αὐτὸν λέγων· . . . . . . ἐπεὶ δὲ σῶμά ἐστι, τί ἂν αὐτὸν κωλύει κινεῖσθαι ὡς ἐλέχθη; (i. e. κυκλωθῆναι).

239) Aristot. de Xenoph. Zen. et Gorg. c. 3 in fin.: Κατὰ πάντα δὲ οὕτως ἔχειν τὸν θεόν, ἀΐδιόν τε καὶ ἕνα, ὅμοιόν τε καὶ σφαιροειδῆ ὄντα, οὔτε ἄπειρον οὔτε πεπερασμένον, οὔτε ἠρεμεῖν οὔτε κινητὸν εἶναι.

240) Clem. Alex. Strom. V, p. 601, C:

Εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
Οὔτε δέμας θνητοῖσιν ὁμοίϊος οὔτε νόημα.
καὶ πάλιν:
Ἀλλὰ βροτοὶ δοκέουσι θεοὺς γεννᾶσθαι — —
Τὴν σφετέρην ἐσθῆτά τ' ἔχειν φωνήν τε δέμας τε.
καὶ πάλιν:
Ἀλλ' εἴτοι χεῖράς γ' εἶχον βόες ἠὲ λέοντες
Ἢ γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
Καί κε θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν
Τοιαῦθ', οἷόνπερ καὶ αὐτοὶ δέμας εἶχον ἕκαστον,
Ἵπποι μέν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὁμοῖα.

An die letzten beiden Bruchstücke schliesst sich ein anderes an, das sich bei Sextus Empir. adv. Mathemat. IX, 193, findet:

Πάντα θεοῖς ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε,
Ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστὶ,
Κλέπτειν, μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

und selbst wieder durch ein anderes bei demselben Empir. adv. Mathem. I, 289, ergänzt wird:

Οἳ πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα,
Κλέπτειν, μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

Weitere Bruchstücke verrathen sich durch Styl und Rhythmus in der aufgelösten Prose des Theodoret (Graec. affect. curat. Serm. III, p. 49, Sylb.): Εἶτα σαφέστερον κωμῳδῶν (ὁ Ξενοφάνης) τήνδε τὴν ἐξαπάτην ἀπὸ τοῦ χρώματος τῶν εἰκόνων διελέγχει τὸ ψεῦδος· τοὺς μὲν γὰρ Αἰθίοπας μέλανας καὶ σιμοὺς γράφειν ἔφησε τοὺς οἰκείους θεούς, ὁποῖοι δὴ καὶ αὐτοὶ πεφύκασι· τοὺς δέ γε Θρᾷκας γλαυκούς τε καὶ ἐρυθρούς, καὶ μέντοι καὶ Μήδους

καὶ Πέρσας σφισιν αὐτοῖς ἐοικότας καὶ Αἰγυπτίους ὡςαύτως αὐτοὺς διαμορφοῦν πρὸς τὴν οικείαν μορφήν. Aus diesen unter einander gewürfelten Versbrocken ergänzt sich zuvörderst der mangelhafte erste Vers mit einem Schlusse und einem sich anschliessenden zweiten Verse:

Ἀλλὰ βροτοὶ δοκέουσι θεοὺς γεννᾶσθαι, ὁποῖοι
Δὴ καὶ αὐτοὶ πεφύασιν ἐοικότας ἂν σφισιν αὐτοῖς.

Dann stellen sich zwei andere Verse, durch Gedanken und Rhythmus mit einander verbunden, zunächst heraus:

Θρᾶκες μὲν γλαυκοὺς καὶ ἐρυθροὺς, Αἰθίοπες δὲ
Σιμοὺς καὶ μελανάς τε θεοὺς γράφουσιν ἑαυτῶν.

Was dann noch übrig bleibt, bildet mit einer kleinen Ergänzung auch noch zwei Verse:

Μῆδοι καὶ Πέρσαι καὶ Αἰγύπτιοι (ἠδὲ καὶ ἄλλοι)
Ὡςαύτως αὐτοῖς μορφὴν μορφοῦσιν ὁμοίην,

so dass also diese ganze Stelle des Xenophaneischen Lehrgedichtes nach gehöriger Zusammenordnung der einzelnen Fragmente folgende Gestalt erhält:

Ἀλλὰ βροτοὶ δοκέουσι θεοὺς γεννᾶσθαι, ὁποῖοι
Δὴ καὶ αὐτοὶ πεφύασιν, ἐοικότας ἂν σφισιν αὐτοῖς,
Τὴν σφετέρην ἐσθῆτα τ᾽ἔχειν φωνήν τε δέμας τε.
Θρᾶκες μὲν γλαυκοὺς καὶ ἐρυθροὺς, Αἰθίοπες δὲ
Σιμοὺς καὶ μελανάς τε θεοὺς γράφουσιν ἑαυτῶν,
Μῆδοι καὶ Πέρσαι καὶ Αἰγύπτιοι ἠδὲ καὶ ἄλλοι
Ὡςαύτως αὐτοῖς μορφὴν μορφοῦσιν ὁμοίην.
Πάντα θεοῖς ἀνέθηκαν Ὅμηρος θ᾽ Ἡσίοδός τε
Οἳ πλεῖστ᾽ ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα,
Ὅσσα παρ᾽ ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστὶ,
Κλέπτειν, μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.
Ἀλλ᾽ εἴτοι χεῖράς γ᾽ εἶχον βόες ἠὲ λέοντες
Ἢ γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
Καί κε θεῶν ἰδέας ἔγραφον καὶ σώματ᾽ ἐποίουν
Τοιαῦθ᾽, οἷόνπερ καὶ αὐτοὶ δέμας εἶχον ἕκαστος,
Ἵπποι μέν θ᾽ ἵπποισι, βόες δέ τε βουσὶν ὁμοῖα.

241) Aristot. Rhetor. II, 23, pag. 446 C: *Ξενοφάνης ἔλεγεν, ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν· ἀμφοτέρως γὰρ συμβαίνει, μὴ εἶναί ποτε τοὺς θεούς.*

242) Aristot. Rhetor. l. l. p. 447, C: *Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν, εἰ θύσουσι τῇ Λευκοθέᾳ καὶ θρηνήσουσιν ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσι, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν.* Plutarch bezieht die Aeusserung auf den Osirisdienst, auf den sie allerdings auch passt, aber offenbar nur durch diese Analogie verleitet, da ein Aufenthalt des Xenophanes in Aegypten sonst nicht erwähnt wird und bei den Lebensverhältnissen des Xenophanes in der That auch nicht wahrscheinlich ist: Amator. p. 763 D: *Ξενοφάνης Αἰγυπτίους ἐκέλευσε τὸν Ὄσιριν, εἰ θνητὸν νομίζουσι, μὴ τιμᾷν ὡς θεὸν, εἰ δὲ θεὸν ἡγοῦνται, μὴ θρηνεῖν.* Eben so de Is. et Osir. p. 379 B.

243) Plutarch. plac. philos. II, 4, 3: *Ξενοφάνης ἀγέννητον καὶ ἀΐδιον καὶ ἄφθαρτον τὸν κόσμον.* Ebenso Stob. Ecl. phys. *Ξενοφάνης, Παρμενίδης, Μέλισσος ἀγέννητον καὶ ἀΐδιον καὶ ἄφθαρτον τὸν κόσμον.*

244) Origen. philosoph. p. 18: *Λέγει δὲ ὅτι οὐδὲν γίνεται οὐδὲ φθείρεται οὐδὲ κινεῖται, καὶ ὅτι ἓν τὸ πᾶν ἐστιν ἔξω μεταβολῆς.* Euseb. praep. ev. I, 8, 4: *Ξενοφάνης δὲ .... οὔτε φθορὰν ἀπολείπει, ἀλλ' εἶναι τὸ πᾶν ἀεὶ ὅμοιον.*

245) Diogen. Laert. IX, 19 in fin.: *Πρῶτός τε ἀπεφήνατο ὅτι πᾶν τὸ γινόμενον φθαρτόν.*

246) Origen. philos. p. 18: *Ὁ δὲ Ξενοφάνης μίξιν τῆς γῆς πρὸς τὴν θάλασσαν γενέσθαι δοκεῖ, καὶ τῷ χρόνῳ ὑπὸ τοῦ ὑγροῦ λύεσθαι, φάσκων τοιαύτας ἔχειν ἀποδείξεις· ὅτι ἐν μέσῃ γῇ καὶ ὄρεσιν εὑρίσκονται κόγχαι· καὶ ἐν Συρακούσαις δὲ ἐν ταῖς λατομίαις λέγει εὑρῆσθαι τύπον ἰχθύος καὶ φωκῶν· ἐν δὲ Πάρῳ τύπον ἀφύης ἐν τῷ βάθει τοῦ λίθου· ἐν δὲ Μελίτῃ πλάκας συμπάντων θαλασσίων. ταῦτα δέ φησι γενέσθαι, ὅτε πάντα ἐπηλώθησαν πάλαι, τὸν δὲ τύπον ἐν τῷ πηλῷ ξηρανθῆναι· ἀναιρεῖσθαι δὲ τοὺς ἀνθρώπους πάντας, ὅταν ἡ γῆ κατενεχθεῖσα εἰς τὴν θάλασσαν πηλὸς γένηται· εἶτα πάλιν ἄρχεσθαι τῆς γενέσεως καὶ τοῦτο πᾶσι τοῖς κόσμοις γίνεσθαι κατ' ἀλλήλων.* Ebenso Euseb. pr. ev. I, 8, 4: *ἀποφαίνεται δὲ καὶ τῷ χρόνῳ καταφερομένην συνεχῶς καὶ κατ' ὀλίγον τὴν γῆν εἰς τὴν θάλασσαν χωρεῖν.*

247) Plutarch. de plac. philos. III, 9: *Ξενοφάνης (τὴν γῆν λέγει) ἐξ ἀέρος δὲ καὶ πυρὸς συμπαγῆναι* (*ἐξ* in der Bedeutung

von *ὑπὸ* beim Passiv ist bekannter Sprachgebrauch, besonders des Herodot und der Jonier; *ἐξ* bedeutet also nicht aus, sondern durch: durch Luft und Feuer ist die Erde dicht gemacht worden, aus dem flüssigen in den starren Zustand übergegangen; dass die Erde aus Luft und Feuer verdichtet seyn sollte, wäre im Ideenkreis des Xenophanes ein Unsinn.)

248) Diog. Laert. IX, 19: *Φησὶ δὲ τέτταρα εἶναι τῶν ὄντων στοιχεῖα.*

249) Denn das ist ja doch wohl der richtige Sinn der bei Origen. philos. pag. 99 vorkommenden Nachricht: *Οὗτος (ὁ Ξενοφάνης) τὴν θάλασσαν ἁλμυρὰν ἔφη, διὰ τὸ πολλὰ μίγματα συῤῥέειν ἐν αὐτῇ*, denn dass hier auf die eben besprochene Auflösung der ganzen Erde im Meere angespielt werde, und nicht auf ein blosses Zusammenfliessen von allerlei Unrath, — was an sich ein kindischer Gedanke ist — leuchtet von selbst ein.

250) Auf die im Texte auseinandergesetzte Weise begreift sich daher die Angabe der Alten: Diog. Laert. IX, 19 (vgl. Stob. Ecl. phys. I, 496, und Theodoret. cur. gr. affect. IV, 15, p. 58): *Φησὶ δὲ (Ξενοφάνης) κόσμους (εἶναι) ἀπείρους* (unendlich an Zahl) *ἀπαραλλάκτους δέ;* an diesem letzten Worte ist gar Nichts zu ändern, wie man bisher aus Mangel an Verständniss versucht hat; denn durch die Auseinandersetzung im Texte wird nun klar, wie eine unendliche Zahl von irdischen Neubildungen, also allerdings fur das Menschengeschlecht eine unendliche Zahl von Welten, stattfinden könne, die aber dem Wesen nach unverändert und immer dieselben sind (*ἀπαράλλακτοι*), weil die Weltkugel selbst, die Gottheit, immer unverändert dieselbe bleibt.

251) Sext. Empir. adv. Mathem. X, 313, Origen. philos. X, 6. f. (p. 312 Mill):

Πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα.

252) Simplic. in phys. Arist. I, p. 258 E, und Philopon. ad eund. loc. D. fol. I, A, beide aus Porphyr schöpfend. Simplicius nennt irrthümlich Anaximenes statt Xenophanes; dieser Irrthum, der ubrigens sowohl aus dem Inhalt als aus der rhythmischen Form leicht zu erkennen war, wird aber von Philoponus berichtigt, dessen genaueres Referat so lautet: *Ὁ Πορφύριός φησι τὸν Ξενοφάνην τὸ*

ξηρὸν καὶ τὸ ὑγρὸν δοξάσαι ἀρχὰς, τὴν γῆν λέγω καὶ τὸ ὕδωρ, καὶ ῥῆσιν αὐτοῦ παρατίθεται τοῦτο δηλοῦσαν·

Γῆ καὶ ὕδωρ πάντ' ὅσσα φύονται ἠδὲ γίνονται.

253) Sext. Emp. adv. Mathem. l. l.; Stob. Ecl. phys. I, pag. 294: *Ξενοφάνης ἀρχὴν τῶν πάντων εἶναι τὴν γῆν. γράφει γὰρ ἐν τῷ περὶ φύσεως·*

Ἐκ γαίης τε τὰ πάντα, καὶ εἰς γῆν πάντα τελευτᾷ.

Der Streit: ob Xenophanes Einen oder zwei Grundbestandtheile der Dinge, Erde allein, oder Erde und Wasser, angenommen habe (die Stellen der Alten zählt Karsten, Xenoph. reliq. p. 146, auf), ist also völlig müssig, da den obigen Stellen zu Folge beide Angaben völlig identisch sind.

254) Wie der Sophist Sabinus (unter Hadrian) ganz richtig folgert (bei Galen in Hippocr. de nat. hom. I, s. 1. T. III, p. 98, F.), obgleich Galen ihn deswegen hart anlässt: *Κακῶς δὲ καὶ τῶν ἐξηγητῶν ἔνιοι κατεψεύσαντο Ξενοφάνους, ὥσπερ καὶ Σαβῖνος, ὡδί πως γράψας αὐτοῖς ὀνόμασιν· „Οὔτε γὰρ πάμπαν ἀέρα λέγω τὸν ἄν„θρωπον, ὥσπερ Ἀναξιμένης, οὔτε ὕδωρ, ὡς Θαλῆς, οὔτε γῆν, ὡς „ἔν τινι Ξενοφάνης“. οὐδαμόθεν γὰρ εὑρίσκεται ὁ Ξενοφάνης ἀποφηνάμενος οὕτως.* Allein hierin irrt sich Galen, wie das obige Fragment des Xenophanes (s. 251) beweist.

255) Die verschiedenen Stellen s. bei Karsten Xenoph. rell. pag. 146.

256) Achill. Tat. Isag. ad Arat. in Petav. Doctr. Temp. III, pag. 96:

Γαίης μὲν τόδε πεῖρας ἄνω παρ ποσσὶν ὁρᾶται
Αἰθέρι προσπλάζον, τὰ κάτω δ' ἐς ἄπειρον ἱκάνει.

Vgl. Aristot. de Coelo II, 12, 294, a, 21: *οἱ μὲν γὰρ... ἄπειρον τὸ κάτω τῆς γῆς εἶναί φασιν, ἐπ' ἄπειρον αὐτὴν ἐῤῥιζῶσθαι λέγοντες.* Der Ausdruck *ἐς ἄπειρον*, den schon Empedokles tadelt, ist natürlich im populären Sinn und nicht wörtlich zu nehmen, da ja die Weltkugel selbst endlich ist; vergl. Aristot. de Xenoph. Zen. et Gorg. c. 2, 976, a, 32.

257) Stob. Ecl. phys. I, p 522: *Ξενοφάνης ἐκ νεφῶν πεπυρωμένων εἶναι τὸν ἥλιον*, oder wie Theophrast in seiner Physik genauer berichtet: *ἐκ πυριδίων μὲν τῶν συναθροιζομένων ἐκ τῆς ὑγρᾶς*

ἀναθυμιάσεως, συναθροιζόντων δὲ τὸν ἥλιον. Stob. I, 27, p. 550: Ξενοφάνης νέφος εἶναι τὴν σελήνην πεπιλημένον. Theodoret. IV, p. 59: καὶ τὸν ἥλιον καὶ τὴν σελήνην Ξενοφάνης νέφη εἶναι πεπυρωμένα φησίν. Plutarch. in Strom. bei Euseb. pr. ev. I, 8, pag. 23: Τὸν δὲ ἥλιόν φησι καὶ τὰ ἄλλα ἄστρα ἐκ τῶν νεφῶν γίγνεσθαι. Plutarch. plac. III, 2, 12: περὶ κομητῶν καὶ διαττόντων (Sternschnuppen) καὶ τῶν τοιούτων. Ξενοφάνης πάντα τὰ τοιαῦτα νεφῶν πεπυρωμένων συστήματα ἢ κινήματα. Stob. ecl. phys I, 30, p. 592: Ξενοφάνης ἀστραπὰς γίγνεσθαι λαμπρυνομένων τῶν νεφῶν κατὰ τὴν κίνησιν. Idem I, 25, p. 514: τοὺς δ' ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας, οὓς καὶ Διοσκούρους καλοῦσί τινες, νεφέλια εἶναι κατὰ τὴν πλοίων κίνησιν πυρὶ λάμποντα (nach Karstens Emendation). Dieselbe Erklärung des Regenbogens hat sich noch in des Xenophanes eigenen Worten erhalten; Eustath. ad Jl., λ, 27, pag. 827, l. 59:

Ἥν τ' Ἶριν καλέουσι, νέφος καὶ τοῦτο πέφυκε
Πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι.

Man sieht, Xenophanes hat seiner Hypothese eine grosse Ausdehnung gegeben. Die zahlreichen Parallelstellen zu diesen Nachrichten sehe man bei Karsten, Xenoph. rell. p. 146 sqq.

258) Achill. Tat. Isag. in Arat. c. 11, p. 133: Ξενοφάνης δὲ λέγει τοὺς ἀστέρας ἐκ νεφῶν συνεστάναι ἐμπύρων καὶ σβέννυσθαι καὶ ἀνάπτεσθαι ὡσεὶ ἄνθρακας· καὶ ὅτε μὲν ἅπτονται, φαντασίαν ἡμᾶς ἔχειν ἀνατολῆς, ὅτε δὲ σβέννυνται, δύσεως. Origen. philos. l. l. τὸν δὲ ἥλιον ἐκ μικρῶν πυριδίων ἀθροιζομένων γίνεσθαι καθ' ἑκάστην ἡμέραν. Ebenso Plutarch. plac. II, 13.

259) Stob. ecl. phys. I, 534: Ὁ δ' αὐτὸς τὸν ἥλιον εἰς ἄπειρον μὲν προϊέναι, δοκεῖν δὲ κυκλεῖσθαι διὰ τὴν ἀπόστασιν. Ebenso Plutarch. plac. II, 24 in fin.

260) Plutarch. plac. II, 24: Ξενοφάνης κατάσβεσιν (εἶναι λέγει ἡλίου ἔκλειψιν)· ἕτερον δὲ πάλιν πρὸς ταῖς ἀνατολαῖς γίνεσθαι. Und etwas weiter: κατά τινα δὲ καιρὸν ἐμπίπτειν τὸν δίσκον εἴς τινα ἀποτομὴν τῆς γῆς οὐκ οἰκουμένην ὑφ' ἡμῶν, καὶ οὕτως ὥσπερ κενεμβατοῦντα ἔκλειψιν ὑπομένειν. Ebenso Stob. ecl. I, p. 534.

261) Origen. phil. I. l.: (Ξενοφάνης) ἀπείρους εἶναι ἡλίους καὶ σελήνας. Wenn Plutarch. plac. I. l. berichtet: Ξενοφάνης πολλοὺς εἶναι ἡλίους καὶ σελήνας κατὰ κλίματα τῆς γῆς καὶ ἀποτομὰς καὶ ζώνας, so ist dies wohl nur eine unrichtige Interpretation.

262) Sext. Empir. adv. Mathem. VII, 49 und 110; VIII, 326.
*Καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ γένετ' οὐδέ τις ἔσται
Εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων·
Εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον εἰπών,
Αὐτὸς ὅμως οὐκ οἶδε· δόκος δ' ἐπὶ πᾶσι τέτυκται.*

263) Plutarch Sympos. IX, p. 746:
Ταῦτα δεδόξασται μὲν ἐοικότα τοῖς ἐτύμοισι.

264) Stob. Ecl. I, p. 224, und Florileg. XXIX, s. 41:
*Οὔτοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς ὑπέδειξαν,
Ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.*

265) Diogen. Laert. IX, 72: *Οὐ μὴν ἀλλὰ καὶ Ξενοφάνης, καὶ Ζήνων ὁ Ἐλεάτης καὶ Δημόκριτος κατ' αὐτοὺς* (*τοὺς Πυῤῥωνείους*) *σκεπτικοὶ τυγχάνουσιν.*

266) Aristot. de arte poët. c. 25. Aristoteles stellt die verschiedenen Standpunkte der dichterischen Darstellung auf; zuerst den der Jdeal-Schilderung, wie die Dinge seyn sollen (*οἷα δεῖ*); dann den der Wirklichkeit, wie die Dinge sind (*οἷοί εἰσι*); zuletzt den der herrschenden Meinung (*ὅτι οὕτω φασίν*), wie man glaubt. Als Beispiele des Ersteren gibt er die Charakter-Schilderungen des Sophokles; er schildere die Menschen so wie sie seyn sollen; als Beispiele des Zweiten die Charakter-Schilderungen des Euripides; er schildere die Menschen wie sie seyen; als Beispiele des Dritten die gewöhnlichen Vorstellungen von den Göttern: *Οἷον τὰ περὶ θεῶν. Ἴσως γὰρ οὔτε βέλτιον οὕτω λέγειν* (*τὰ περὶ θεῶν*), *οὔτε ἀληθῆ, ἀλλ' ἔτυχεν, ὥσπερ Ξενοφάνης* (*λέγει*). *ἀλλ' οὖν* (statt des gewöhnlichen *οὐ*) *φασὶ τάδε.* (Es ist nun einmal die herrschende Meinung, der herrschende Glaube so. Weiter ist nichts zu ändern.)

267) Didymus bei Stob. Ecl. phys. II, 1, 17; p. 14: *Ξενοφάνους πρῶτον λόγος ἦλθεν εἰς τοὺς Ἕλληνας, ἄξιος γραφῆς, ἅμα παιδείᾳ* (mit wirklicher wissenschaftlicher Einsicht, wissenschaftlicher Bildung; nicht *παιδιᾷ*, denn in des Xenophanes Aeusserung ist kein Spass und Scherz) *τάς γε τῶν ἄλλων τόλμας ἐπιπλήττοντος, καὶ τὴν αὐτοῦ παρίσταντος εὐλάβειαν, ὡς ἄρα θεὸς μὲν οἶδε τὴν ἀλήθειαν,*

δόκος δ' ἐπὶ πᾶσι τέτυκται.

268) Diogen. Laert. IX, 20: *Φησὶ δὲ Σωτίων πρῶτον αὐτὸν εἰπεῖν ἀκατάληπτ' εἶναι τὰ πάντα, πλανώμενος.* Eben so Sext. Empir.

adv. Mathem. VII, s. 49: *Ξενοφάνης μὲν κατά τινας εἰπὼν πάντα ἀκατάληπτα, ἐπὶ ταύτης ἐστὶ τῆς φορᾶς.* Origen. philos. c. 14: *Οὗτος ἔφη πρῶτος ἀκαταληψίαν εἶναι πάντων.* Diese und ähnliche Angaben sind aus einer unbegründeten Verallgemeinerung der im Texte angeführten Xenophaneischen Stelle entstanden.

269) Wie schon Sext. Empir. adv. Mathem. VII, s. 110, richtig unterscheidet: *Ξενοφάνης δὲ κατὰ τοὺς οἷς ἑτέρως* (als oben s. 49) *αὐτὸν ἐξηγουμένους, φαίνεται μὴ πᾶσαν κατάληψιν ἀναιρεῖν· ἀλλὰ τὴν ἐπιστημονικήν τε καὶ ἀδιάπτωτον, ἀπολείπειν δὲ τὴν δοξαστήν. τοῦτο γὰρ ἐμφαίνει τὸ, δόκος δ' ἐπὶ πᾶσι τέτυκται. ὥστε κριτήριον γίνεσθαι κατὰ τοῦτον τὸν δοξαστὸν λόγον, τουτέστι, τὸν τοῦ εἰκότος ἀλλὰ μὴ τὸν τοῦ παγίου ἐχόμενον.*

270) Galen. phil. hist. c. 3, p. 234, rechnet nämlich Demokrit und Xenophanes zu den zugleich dogmatischen und skeptischen Denkern, die er eine eigene mittlere Klasse bilden lässt: *τοὺς δὲ κατὰ μικτὴν αἵρεσιν μετεληλυθότας ὑπάρχειν* (*Δημόκριτον καὶ*) *Ξενοφάνην, περὶ πάντων μὲν ἠπορηκότα, δογματίσαντα δὲ μόνον τὸ εἶναι πάντα ἓν καὶ τοῦτο ὑπάρχειν θεόν.* Die Auffassung des Aristokles bei Euseb. pr. ev. XIV, 17, 1: *Οἴονται γὰρ δεῖν τὰς μὲν αἰσθήσεις καὶ τὰς φαντασίας καταβάλλειν, αὐτῷ δὲ μόνον τῷ λόγῳ πιστεύειν· τοιαῦτα γάρ τινα πρότερον μὲν Ξενοφάνης καὶ Παρμενίδης καὶ Ζήνων καὶ Μέλισσος ἔλεγον, ὕστερον δ' οἱ περὶ Στίλπωνα καὶ τοὺς Μεγαρικούς,* trägt eine von dem Verfahren des Xenophanes hergeleitete, aber erst in seiner Schule ausgebildete Ansichtsweise ohne Grnnd schon auf diesen selbst über.

271) Diogen. Laert. IX, 19: *Πρῶτός τε ἀπεφήνατο, ὅτι πᾶν τὸ γινόμενον φθαρτόν ἐστι, καὶ ἡ ψυχὴ πνεῦμα.*

272) Sext. Empir. adv. Mathem. VII, 14: *Τῶν δὲ διμερῆ τὴν φιλοσοφίαν ὑποστησαμένων Ξενοφάνης μὲν ὁ Κολοφώνιος τὸ φυσικὸν ἅμα καὶ λογικὸν, ὥς φασί τινες, μετήρχετο.*

273) Origen. philos. c. 7 in fin.: *Οὗτος* (*Ἀναξιμένης*) *ἤκμασε περὶ ἔτος πρῶτον τῆς πεντηκοστῆς ὀγδόης Ὀλυμπιάδος.* Suidas: *Γέγονεν ἐν τῇ νή* (statt *νέ*) *Ὀλυμπιάδι ἐν τῇ Σάρδεων ἁλώσει, ὅτε Κῦρος ὁ Πέρσης Κροῖσον καθεῖλεν.* Die Emendation *νή Ὀλυμπιάς*, 58. Olymp., statt *νέ Ὀλ.*, 55. Olymp., wird durch den beigefügten Synchronismus der Eroberung von Sardes ausser allen Zweifel gesetzt,

denn Sardes wurde im Jahre 546 v. Chr., im 3. Jahr der 58 Olymp., durch Kyros eingenommen. Durch die Beifügung dieses Synchronismus erhellt, dass *νέ* nur ein Schreibfehler ist Die Angaben des Origenes und des Suidas stimmen also mit einander überein. Denn *γέγονεν* bedeutet nicht: er **wird** geboren, sondern: er **war** schon geboren, er **lebte**, und ist also allerdings mit *ἤκμασε* in so fern synonym, dass *ἤκμασε* zur genaueren, *γέγονεν* aber zur allgemeineneren Lebensbezeichnung bei einem angegebenen Zeitpunkte dient.

274) Simplic de coelo p. 151 (schol. in Arist. 514, a, 33): *Ἀναξιμένης δὲ ἑταῖρος Ἀναξιμάνδρου καὶ πολίτης.* Euseb. pr. ev. X, 14, p. 504, a: *Ἀναξιμάνδρου δὲ γνώριμος ἐγένετο Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος.* Simplic. in phys. fol. 6: *Ἀναξιμένης Εὐρυστράτου Ἀναξιμάνδρου ἑταῖρος.*

275) Diog. Laert. II, s. 3: *Καὶ γεγένηται μὲν (ὁ Ἀναξιμένης), καθά φησιν Ἀπολλόδωρος, τῇ πεντηκοστῇ* (statt *ἑξηκοστῇ*) *τρίτῃ ὀλυμπιάδι· ἐτελεύτησε δὲ περὶ τὴν Σάρδεων ἅλωσιν.*

276) Diogen. Laert. II, s. 3: *Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος ἤκουσεν Ἀναξιμάνδρου.* Cic. acad. II, 37, 118: Ejus (Anaximandri) auditor Anaximenes. In den Diadochen-Reihen der Späteren wird daher Anaximenes als Anaximanders Nachfolger bezeichnet. Clem. Strom. I, 301, A; Theodoret. gr. aff. cur. II, 9, pag. 22.

277) Plin. hist. nat. II, 78: Umbrarum hanc rationem et quam vocant gnomonicen invenit (?) Anaximenes Milesius, Anaximandri discipulus, primusqne horologium, quod appellant sciothericon, Lacedaemone ostendit. Was hier als Erfindung des Anaximenes dargestellt wird, kann nur die Vervollkommnung einer Anaximandrischen Erfindnng gewesen seyn, da andere Nachrichten die erste Errichtung von Gnomonen nnd ihre Verwendung als Sonnenuhren, gerade mit Bezug auf Sparta, dem Anaximander zuschreiben.

278) Athen. I, s. 4: *Ἦν δὲ καὶ βιβλίων κτῆσις αὐτῷ ἀρχαίων Ἑλληνικῶν τοσαύτη, ὡς ὑπερβάλλειν πάντας τοὺς ἐπὶ συναγωγῇ τεθαυμασμένους, Πολυκράτην τε τὸν Σάμιον καὶ Πεισίστρατον τὸν Ἀθηναίων τυραννήσαντα.*

279) Es wird nns zwar unmittelbar Nichts von einer solchen Schrift gemeldet; wenn aber Diogenes (II, 3) berichtet, Anaximenes

habe sich des einfachen jonischen Dialektes bedient, und Stobaeus des Anaximenes eigene Worte anführt, so ist es klar, dass beiden Notizen eine Anaximenische Schrift zu Grunde lag. Der angegebene Inhalt der Schrift ergibt sich aber aus den überlieferten Lehrsätzen.

280) Diogen. Laert. II, s. 3: *Κέχρηταί τε γλώσσῃ Ἰάδι ἁπλῇ καὶ ἀπερίττῳ.*

281) Stob. Ecl. phys. I, pag. 296: *Ἀναξιμένης ἀρχὴν τῶν ὄντων ἀέρα ἀπεφήνατο, ἐκ γὰρ τούτου πάντα γίγνεσθαι καὶ εἰς αὐτὸν πάλιν ἀναλύεσθαι. Οἷον ἡ ψυχὴ, φησὶν, ἡ ἡμετέρα, ἀὴρ οὖσα, συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει. Λέγεται δὲ συνωνύμως ἀὴρ καὶ πνεῦμα.* Ebenso Plutarch plac. I, 3, 6.

282) Simplic. de coelo, p. 46, m: *Ἀναξιμένης τὸν ἀέρα ἄπειρον ἀρχὴν εἶναι λέγων.* Diogen. Laert. II, 3: *Οὗτος ἀρχὴν ἀέρα εἶπε καίτοι ἄπειρον* (statt der fehlerhaften Lesart *καὶ τὸ ἄπειρον*, welche neben der Luft noch ein zweites Ur-Princip: das Unendliche, aufstellen würde; was bei der zweifellosen Ueberlieferung der übrigen Nachrichten ein so grober Fehler wäre, dass er auch dem sonst kopflosen Diogenes Laertius nicht beigelegt werden kann).

283) Aristot. phys. ausc. III, 6, s. 5 in fin.: *Φασὶν οἱ φυσιολόγοι τὸ ἔξω σῶμα τοῦ κόσμου, οὗ ἡ οὐσία ἀὴρ ἢ ἄλλο τι τοιοῦτον, ἄπειρον (εἶναι).*

284) Stob. Ecl. phys. I, 56: *Ἀναξιμένης τὸν ἀέρα (θεὸν ἀπεφήνατο).* Tertull. contr. Marc. I, 13: Anaximenes aërem (Deum pronuntiavit). Lactant. Inst. I, 5, 8, 18: Cleanthes et Anaximenes a e t h e r a d i c u n t e s s e s u m m u m D e u m. Vergl. Cic. de nat. Deor. I, 10.

285) Aristot. metaphys. I, 3, 984, a, 5: *Ἀναξιμένης δὲ ἀέρα καὶ Διογένης πρότερον ὕδατος καὶ μάλιστ' ἀρχὴν τιθέασι τῶν ἁπλῶν σωμάτων.* Plutarch. bei Euseb. praep. ev. I, 8, 3: *Ἀναξιμένην δέ φασι τὴν τῶν ὅλων ἀρχὴν τὸν ἀέρα εἰπεῖν καὶ τοῦτον εἶναι τῷ μεγέθει* (statt *τῷ μὲν γένει*, der gleich anzuführenden Stelle des Simplic. gemäss) *ἄπειρον, ταῖς δὲ περὶ αὐτὸν ποιότησιν ὡρισμένον.* Simplic. in phys. 5, b, unten: *Ἀναξίμανδρον καὶ Ἀναξιμένην ἓν μὲν, ἄπειρον δὲ τῷ μεγέθει τὸ στοιχεῖον ὑποθεμένους.* Simplic. de coelo p. 151 (schol. in Arist. 514, a, 33): *Ἀναξιμένης δὲ ἑταῖρος Ἀναξιμάνδρου καὶ πολίτης ἄπειρον καὶ αὐτὸς*

ὑπέθετο τὴν ἀρχήν, οὐ μὴν ἔτι ἀόριστον, ἀέρα γὰρ ἔλεγεν εἶναι, οἰόμενος ἀρκεῖν τὸ τοῦ ἀέρος εὐαλλοίωτον πρὸς μεταβολήν.

286) Simpl. Phys. 6, a, unten: μίαν μὲν τὴν ὑποκειμένην φύσιν καὶ ἄπειρόν φησιν ..... οὐκ ἀόριστον δὲ ..... ἀλλὰ ὡρισμένην, ἀέρα λέγων αὐτήν.

287) Cic. de nat. Deor. I, 10: Anaximenes aëra Deum statuit, eumque (non) gigni, esseque immensum et infinitum et semper in motu. Origen. philos. c. 7: Ἀναξιμένης ἀέρα ἄπειρον ἔφη τὴν ἀρχὴν εἶναι, ἐξ οὗ τὰ γινόμενα καὶ γεγονότα καὶ τὰ ἐσόμενα καὶ θεοὺς καὶ θεῖα γίγνεσθαι, τὰ δὲ λοιπὰ ἐκ τῶν τούτου ἀπογόνων .... κινεῖσθαι δὲ ἀεί· οὐ γὰρ μεταβάλλειν, ὅσα μεταβάλλει, εἰ μὴ κινοῖτο. Plutarch ap. Euseb. pr. ev. I, 8: Ἀναξιμένην δέ φασι τὴν τῶν ὅλων ἀρχὴν τὸν ἀέρα εἰπεῖν, καὶ τοῦτον εἶναι τῷ μεγέθει ἄπειρον .... τήν γε μὴν κίνησιν (τούτου) ἐξ αἰῶνος ὑπάρχειν. Simplic. phys. 6, a, unten: μίαν μὲν τὴν ὑποκειμένην φύσιν καὶ ἄπειρόν φησιν· οὐκ ἀόριστον δὲ, ἀλλὰ ὡρισμένην, ἀέρα λέγων αὐτήν· κίνησιν δὲ καὶ οὗτος ἀΐδιον ποιεῖ, δι' ἣν καὶ τὴν μεταβολὴν γίνεσθαι. Durch die angeführten Stellen sind die Eigenschaften der Unendlichkeit und der ewigen Bewegung (esse semper in motu, ἀεὶ κινεῖσθαι, κίνησις ἐξ αἰῶνος, κίνησις ἀΐδιος) hinlänglich belegt; nur die Ewigkeit der Urgottheit, die sich übrigens logisch und metaphysisch von selbst versteht und von den Berichterstattern selbst offenbar vorausgesetzt wird — denn wenn es bei Stobaens (Note 281) heisst: ἐκ γὰρ τούτου πάντα γίγνονται καὶ εἰς αὐτὸν πάλιν ἀναλύονται, so ist dies ganz dieselbe Auffassung, wie bei Anaximander, von den inneren Begriffs-Gründen ganz abgesehen, — diese Ewigkeit ist nur indirect durch die Ewigkeit der Selbstbewegung (κίνησις ἐξ αἰῶνος, ἀΐδιος) nachgewiesen, weil die einzige Stelle, die des Cicero, welche sie dem Zusammenhange nach hätte enthalten sollen, durch ein arges Missverständniss gerade das Gegentheil aussagt: eumque gigni, statt des oben angegebenen: eumque non gigni. Dies Missverständniss muss aber schon von dem referirenden Epikuräer herrühren, den Cicero in seiner Schrift de natura Deorum übersetzt, da er seine Widerlegung der Anaximenischen Sätze darauf gründet. Wie dies Missverständniss entstanden seyn mag, erklärt Krische in seinen Forschungen, I, p. 55.

288) Simplic. phys. 5, b, unten: Ἀναξίμανδρον καὶ Ἀναξιμένην ... ἓν μὲν, ἄπειρον δὲ τῷ μεγέθει τὸ στοιχεῖον ὑποθεμένους·

Ibid. p. 273, b, unten: *ἐν τῷ ἀπείρῳ ..... τοῦ Ἀναξιμένους καὶ Ἀναξιμάνδρου.*

289) Simplicius (in phys. pag. 39, a, oben) schreibt dieselbe Theorie zwar auch dem Thales zu: *καὶ οἱ ἓν δὲ καὶ κινούμενον τὴν ἀρχὴν ὑποθέμενοι, ὡς Θαλῆς καὶ Ἀναξιμένης, μανώσει καὶ πυκνώσει τὴν γένεσιν ποιοῦντες κ. τ. λ.* Aber dies kann nur eine irrige Folgerung des Simplicius seyn, denn diese Behauptung lässt sich von Thales nicht nachweisen, und hat nach des Simplicius eigenem Bericht das ausdrückliche Zeugniss des Theophrast gegen sich (in phys. f. 32, a, unten): *ἐπὶ γὰρ τούτου μόνου (Ἀναξιμένους) Θεόφραστος ἐν τῇ Ἱστορίᾳ τὴν μάνωσιν εἴρηκε καὶ τὴν πύκνωσιν.* Erst nach Anaximenes sehen wir diese Theorie auch von Anderen, z. B. von Diogenes von Apollonia, angenommen.

290 a) Plutarch ap. Euseb. pr. ev. I, 8: *Ἀναξιμένην δέ φασι τὴν τῶν ὅλων ἀρχὴν τὸν ἀέρα εἰπεῖν, καὶ τοῦτον εἶναι τῷ μεγέθει ἄπειρον, ταῖς δὲ περὶ αὐτὸν ποιότησιν ὡρισμένον· γεννᾶσθαι δὲ πάντα κατά τινα πύκνωσιν τούτου καὶ πάλιν ἀραίωσιν· τήν γε μὲν κίνησιν ἐξ αἰῶνος ὑπάρχειν.*

290 b) Plutarch de prim. frig. s. 7: *καθάπερ Ἀναξιμένης ὁ παλαιὸς ᾤετο, μήτε τὸ ψυχρὸν ἐν οὐσίᾳ μήτε τὸ θερμὸν ἀπολείπωμεν, ἀλλὰ πάθη κοινὰ τῆς ὕλης ἐπιγινόμενα ταῖς μεταβολαῖς· τὸ γὰρ συστελλόμενον αὐτῆς καὶ πυκνούμενον ψυχρὸν εἶναί φησι, τὸ δὲ ἀραιὸν καὶ τὸ χαλαρὸν (οὕτω πως ὀνομάσας καὶ τῷ ῥήματι) θερμόν.* Weniger deutlich bei Origen. phil. I, 12.

290 c) Simpl. in phys. f. 32: *οἱ μὲν ἐκ τοῦ ὑλικοῦ ἑνὸς γεννῶσι τὰ ἄλλα μανότητι καὶ πυκνότητι· ὡς Ἀναξιμένης ἀραιούμενον μὲν τὸν ἀέρα πῦρ γίνεσθαί φησι, πυκνούμενον δὲ ἄνεμον, εἶτα νέφος, εἶτα ἔτι μᾶλλον ὕδωρ, εἶτα γῆν, εἶτα λίθους, τὰ δὲ ἄλλα ἐκ τούτων.* Ebenso Origen. philos. c. 7: *Ὅταν δὲ εἰς τὸ ἀραιότερον διαχυθῇ, πῦρ γίνεσθαι, μέσως δὲ ἐπὰν εἰς ἀέρα πυκνούμενον, ἐξ ἀέρος νέφος ἀποτελεσθῇ κατὰ τὴν πίλησιν* (statt *πόλησιν*), *ἔτι δὲ μᾶλλον ὕδωρ, ἐπὶ πλεῖον πυκνωθέντα γῆν, καὶ εἰς τὸ μάλιστα πυκνώτατον λίθους, ὥστε τὰ κυριώτατα τῆς γενέσεως ἐναντία εἶναι θερμόν τε καὶ ψυχρόν.* Cic. Acad. II, 37, 118: Gigni autem terram, aquam, ignem, tum ex his omnia.

291) Plutarch. plac. II, γ': *Οἱ μὲν ἄλλοι* (ausser Demokrit und Epikur) *πάντες ἔμψυχον τὸν κόσμον καὶ προνοίᾳ διοικούμενον.*

292) Origen. philos. c. 7 (s. Note 186): *ἐξ οὗ (τοῦ ἀέρος) καὶ θεοὺς καὶ θεῖα γίγνεσθαι.* August. de civit. Dei VIII, 2: qui (Auaximenes) omnes rerum causas infinito aëri dedit; nec Deos negavit aut tacuit; nou tamen ab ipsis aërem factum, sed ipsos ex aëre ortos credidit.

293) Plutarch. ap. Euseb. pr. ev. I, 8, p. 22, d: *πιλουμένου δὲ τοῦ ἀέρος, πρώτην γεγενῆσθαι λέγειν τὴν γῆν, πλατεῖαν μάλα· διὸ καὶ κατὰ λόγον αὐτὴν ἐποχεῖσθαι τῷ ἀέρι. καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὰ λοιπὰ ἄστρα τὴν ἀρχὴν τῆς γενέσεως ἔχειν ἐκ γῆς.* Origen. philos. c. 7: *γεγονέναι δὲ τὰ ἄστρα ἐκ γῆς διὰ τὸ τὴν ἰκμάδα ἐκ ταύτης ἀνίστασθαι, ἧς ἀραιουμένης τὸ πῦρ γίνεσθαι, ἐκ δὲ τοῦ πυρὸς μετεωριζομένου τοὺς ἀστέρας συνίστασθαι.*

294) Plutarch. plac. III, 10: *Ἀναξιμένης τραπεζοειδῆ (τὴν γῆν).* Euseb. pr. ev. I, 8. 3; Arist. de coel. II, 13, p. 294.

295) Plut. plac. II, 22: *Ἀναξιμένης πλατὺν, ὡς πέταλον, τὸν ἥλιον.* Stob. ecl. phys. I, c. 26, pag. 524: *Ἀναξιμένης πύρινον ὑπάρχειν τὸν ἥλιον ἀπεφήνατο· ..... πλατὺν δ'εἶναι τῷ σχήματι.*

296) Stob. eccl. phys. I, c. 25, pag. 510: *Ἀναξιμένης πυρίνην μὲν τὴν φύσιν τῶν ἀστέρων, παρέχειν* (neben sich haben) *δέ τινα καὶ γεώδη σώματα, συμπεριφερόμενα τούτοις, ἀόρατα.* (Es scheint fast, als hätte der Berichterstatter diese Nachricht selbst erst aus zweiter Hand uud gebe sie wieder, ohne sich etwas Bestimmtes dabei denken zu können.) *ἥλων δὲ δίκην καταπεπηγέναι τὰ ἄστρα τῷ κρυσταλλοειδεῖ.* (Das ist also jener unsichtbare erdartige Körper, auf dem die Sterne angeheftet sind. Die Sterne siud dle Planeten, denn die Fixsterne sind nicht an einem durchsichtigen Krystallhimmel, sondern an dem undurchsichtigen ehernen letzteu und äussersten Himmelsgewölbe befestigt; *ἄστρα* und *ἀστέρες* sind also vollkommeu gleichbedeutend gebraucht. Daher findet sich denn auch bei Galen., hist. phil. c. 13, dieselbe Angabe von den *ἀστέρες* berichtet: *Ἀναξιμένης ἥλων* [statt *ἥλιον*] *δικὴν καταπεπῆχθαι τῷ κρυσταλλοειδεῖ (τοὺς ἀστέρας.)* Ebenso Plut. de plac. philos. II, *ιδ'*, dasselbe wie bei Stob. ebenfalls von den *ἀστέρες*. Aehnlich Origen. philos. c. 7: *εἶναι δὲ καὶ γεώδεις φύσεις ἐν τῷ τόπῳ τῶν ἀστέρων συμφερομένας ἐκείνοις.* Vgl. Galen. hist philos. c. 13: *Ἀναξίμανδρος ὑπὸ τῶν κύκλων καὶ τῶν σφαιρῶν, ἐφ' ὧν ἕκαστος βέβηκε, φέρεσθαι (τοὺς ἀστέρας).*

297) Galen. hist. phil. c. 12: *Ἀναξιμένης τὴν περιφορὰν τὴν ἐξωτάτην γηίνην εἶναι.* Ganz ebenso lautete die Angabe bei Plut. de plac. phil. II, *ια'*, ehe die neueren Herausgeber das sinnlose *ἐξωτάτω τῆς γῆς* aus Stob. ecl. phys. I, c. 24, p. 500, hineinemendirten, das vielmehr auch dort nach der obigen Lesart bei Galen berichtigt werden muss, da dies der einzige Sinn ist, der im Zusammenhang Statt finden kann.

298) Galen. hist. phil. c. 13: *Ἀναξιμένης ὁμοίως ὑπὸ* (statt des sinnlosen *ἐπὶ*) *τὴν γῆν καὶ περὶ αὐτὴν στρέφεσθαι τοὺς ἀστέρας.* Ganz gleichlautend auch Plut. de placit. philos. II, *ιϛ'*; *Ἀναξιμένης ὁμοίως ὑπὸ τὴν γῆν καὶ περὶ αὐτὴν στρέφεσθαι τοὺς ἀστέρας.* Dagegen Stob. nach der oben angeführten Stelle (I, c. 25, p. 510) sinnlos fortfährt: *Οὐχ ὑπὸ τὴν γῆν δὲ, ἀλλὰ περὶ αὐτὴν στρέφεσθαι τοὺς ἀστέρας.* Man sieht, dass Stobaeus excerpirend gedankenlos Etwas hinschrieb, was ihm nicht recht klar war. Den Gipfel des Unsinns aber ersteigt die Sache bei Origen. philos. c. 7, indem er, eine Erklärung versuchend, folgende Verballhornung macht: *οὐ κινεῖσθαι δὲ ὑπὸ γῆν τὰ ἄστρα λέγει* (*Ἀναξιμένης*) *καθῶς ἕτεροι ὑπειλήφασιν, ἀλλὰ περὶ γῆν ὡςπερεὶ περὶ τὴν ἡμετέραν κεφαλὴν στρέφεται τὸ πιλίον· κρύπτεσθαί τε τὸν ἥλιον οὐχ ὑπὸ γῆν γενόμενον, ἀλλ' ὑπὸ τῶν τῆς γῆς ὑψηλοτέρων μερῶν σκεπώμενον καὶ διὰ τὴν πλείονα ἡμῶν αὐτοῦ γενομένην ἀπόστασιν*, wobei ältere Dichter-Vorstellungen mit nur halbverdauter Gelehrsamkeit eingemengt werden.

299) Stob. ecl. phys. I, c. 52, p. 796: *Ἀναξιμένης ἀερώδη* (*τὴν ψυχὴν ἀπεφήνατο*) und des Anaximenes eigene Worte in Note 184.

300) Stobaeus eclog. phys. I, c. 21, p. 416: *Ἀναξιμένης φθαρτὸν τὸν κόσμον.* Idem I, pag. 496: *Ἀναξίμανδρος, Ἀναξιμένης, Ἀρχέλαος κ. τ. λ. ἀπείρους κόσμους ἐν τῷ ἀπείρῳ κατὰ πᾶσαν περιαγωγήν.* Aehnlich Theodoret. gr. aff. cur. IV, 15. p. 48. Im Ganzen dasselbe sagt auch Simplic. phys. 257, b: *Ὅσοι ἀεὶ μὲν φασιν εἶναι τὸν κόσμον* (?) *οὐ μὴν τὸν αὐτὸν ἀεὶ, ἀλλὰ ἄλλοτε ἄλλον γινόμενον κατά τινας χρόνων περιόδους, ὡς Ἀναξιμένης τε καὶ Ἡράκλειτος καὶ Διογένης.* Die Ewigkeit der Welt kann Anaximenes nicht gelehrt haben.

301) Strab. geogr. l. XIV, c. 1 (Samus), p. 171 (Tauchn.): *Ἐπὶ τούτου* (*Πολυκράτους*) *Πυθαγόραν ἱστοροῦσι φυομένην ἰδόντα τὴν τυραννίδα, ἐκλιπεῖν τὴν πόλιν, καὶ ἀπελθεῖν εἰς Αἴγυπτον καὶ*

Βαβυλῶνα, φιλομαθίας χάριν· ἐπανιόντα δ' ἐκεῖθεν, ὁρῶντα ἔτι συμμένουσαν τὴν τυραννίδα, πλεύσαντα εἰς Ἰταλίαν, ἐκεῖ διατελέσαι τὸν βίον.

302) Justin. histor. l. XX, c. 4.

303) Cic. de fin. bon. et malorum l. V, c. 29: Cur ipse Pythagoras et Aegyptum lustravit, et Persarum Magos adiit? etc.

304) Cic. de fin. bon. et mal. l. V, c. 2.

305) Isocrat. Busiris. s. 11: *Ἔχοι δ' ἄν τις πολλὰ καὶ μεγάλα περὶ τῆς ὁσιότητος αὐτῶν (τῶν Αἰγυπτίων) διελθεῖν, ἣν οὔτε μόνος οὔτε πρῶτος ἐγὼ τυγχάνω καθεωρακώς, ἀλλὰ πολλοὶ καὶ τῶν ὄντων καὶ τῶν προγεγενημένων, ὧν καὶ Πυθαγόρας ὁ Σάμιος ἐστιν· ὃς ἀφικόμενος εἰς Αἴγυπτον καὶ μαθητὴς ἐκείνων γενόμενος, τήν τε ἄλλην φιλοσοφίαν πρῶτος εἰς τοὺς Ἕλληνας ἐκόμισε, καὶ περὶ τὰς θυσίας τε καὶ τὰς ἁγιστείας τὰς ἐν τοῖς ἱεροῖς ἐπιφανέστερον τῶν ἄλλων ἐσπούδασεν.*

404) Porphyr. Vit. Pyth s. 12: *Ἐν Αἰγύπτῳ . . . περὶ θεῶν πλέον τι ἔμαθεν. καὶ πρὸς Ζάβρατον ἀφικόμενος . . . . τόν τε περὶ φύσεως λόγον ἤκουσε καὶ τίνες αἱ τῶν ὅλων ἀρχαί* (nämlich die zwei entgegengesetzten Principien, das gute und das böse, Ormuzd und Ahriman, den zoroastrischen Dualismus). Sect. 6: *Ἔτι δὲ καὶ περὶ τῆς διδασκαλίας αὐτοῦ οἱ πλείους, τὰ μὲν τῶν μαθηματικῶν καλουμένων ἐπιστημῶν, παρ' Αἰγυπτίων τε καὶ Χαλδαίων καὶ Φοινίκων φασὶν ἐκμαθεῖν. γεωμετρίας μὲν γὰρ ἐκ παλαιῶν χρόνων ἐπιμεληθῆναι Αἰγυπτίους· τὰ δὲ περὶ ἀριθμούς τε καὶ λογισμούς, Φοίνικας· Χαλδαίους δὲ τὰ περὶ τὸν οὐρανὸν θεωρήματα· περὶ δὲ τὰς τῶν θεῶν ἁγιστείας καὶ τὰ λοιπὰ τῶν περὶ τὸν βίον ἐπιτηδευμάτων παρὰ τῶν Μάγων φησὶ διακοῦσαί τε καὶ λαβεῖν.*

405) Jamblich. Vit. Pyth. s. 19: *Ὑπὸ τῶν τοῦ Καμβύσου αἰχμαλωτισθεὶς εἰς Βαβυλῶνα ἀνήχθη, κἀκεῖ τοῖς Μάγοις συνδιατρίψας, καὶ ἐκπαιδευθεὶς τὰ παρ' αὐτοῖς σεμνὰ καὶ θεῶν θρησκείαν ἐντελεστάτην ἐκμαθὼν · · · ·, ἄλλα τε δώδεκα συνδιατρίψας ἔτη, εἰς Σάμον ὑπέστρεψε περὶ ἕκτον που καὶ πεντηκοστὸν ἔτος ἤδη γεγονώς.*

406) Vgl. die ausführliche Erzählung bei Herodot, III, 125—138 incl.

407) Durch diese Erzählung Herodots erhält die Notiz des Appulejus (Florida II, 15): eum (Pythagoram) a quodam Gillo Crotoniensium (irrig statt Tarentinorum) principe reciperatum, — erst ihr Licht und ihre Erklärung. Es wäre auffallend, dass Herodot des Pythagoras bei dieser Gelegenheit nicht erwähnt, wenn er nicht auch an anderen Stellen seines Geschichtswerkes, wo ihn der Gegenstand zu der Erwähnung des Pythagoras fast zwingt, geflissentlich vermiede denselben zu nennen, wie in der bekannten Stelle (II, 123), wo er von der Seelenwanderungslehre des Pythagoras redet. Unbekanntschaft mit den Thatsachen ist jedenfalls der Grund nicht, denn Herodot, noch zu Lebzeiten des Pythagoras geboren (484 v. Chr.) und 14 Jahre alt, als Pythagoras starb (470 v. Chr.), lebte längere Zeit in Samos, der Vaterstadt des Pythagoras, und später von 444 v. Chr. G. an in Thurii auf dem Gebiete des zerstörten Sybaris in der Nähe von Kroton, zu einer Zeit, wo die pythagoreische Schule in Kroton wieder aufblühte. Wahrscheinlich liegt der Grund in dem feindlichen Verhältnisse der Krotoniaten und der jetzt in Kroton wieder residirenden pythagoreischen Schule zu dem auf dem Gebiete des alten Sybaris, auf krotoniatischem Grund und Boden wieder aufblühenden Thurii. Denn die Krotoniaten suchten das Aufkommen Thurii's auf alle Weise zu hindern, da es ihren Besitz des sybaritischen Gebietes gefährdete, und führten deshalb gegen Thurii langdauernde, erbitterte Kriege, die endlich doch mit der von den Krotoniaten gefürchteten und auf alle Weise abgewehrten Vernichtung der krotonischen Macht und Herrschaft uber das sybaritische Gebiet endigten. Herodot, als Thurier, konnte also unmöglich gut auf die Pythagoreer zu sprechen seyn, und liess dies, wie es scheint, auch den Stiftor der Schule, Pythagoras, entgelten.

408) Jamblich. de vit. Pyth. s. 19: *εἰς Σάμον ὑπέστρεψε περὶ ἕκτον που καὶ πεντηκοστὸν ἔτος ἤδη γεγονώς.*

409) Herodot. VII, c. 102; Thncyd. I, 2.

410) Graecia propria: Attika, Megaris, Böotien, Phokis, Doris u. s. w., denn dass bei dem Gegensatze zu Grossgriechenland nur das eigentliche Hellas, die Graecia propria gemeint seyn kann, versteht sich von selbst.

411) Strabo l. VI, c. 1, s. 3: *Ὕστερον μέν γε καὶ τῆς μεσογαίας* (von Unteritalien) *πολλὴν ἀφῄρηντο* (die Hellenen) *ἀπὸ τῶν Τρωικῶν αὐξάμενοι χρόνων. καὶ δὴ ἐπὶ τοσοῦτον ηὔξηντο, ὥστε μεγάλην Ἑλλάδα ταύτην* (Unteritalien) *ἔλεγον καὶ τὴν Σικελίαν.*

412) Herodot. IV, 138.

413) Porphyr. Vit. Pyth. s. 13, p. 26.

414) S. oben Note 316.

415) Jamblich. de vit. Pyth. c. 30, s. 184: *Πρὸς Φερεκύδην τὸν Σύριον, διδάσκαλον αὐτοῦ γενόμενον, (ἀπὸ τῆς Ἰταλίας) εἰς Δῆλον ἐκομίσθη, νοσοκομήσων τε αὐτὸν, περιπετῆ γενόμενον τῷ ἱστορουμένῳ τῆς φθειριάσεως πάθει, καὶ κηδεύων αὐτὸν παρέμεινέ τε ἄχρις τῆς τελευτῆς αὐτῷ, καὶ τὴν ὁσίαν ἀπεπλήρωσε περὶ τὸν αὐτοῦ καθηγεμόνα.* Ebenso Diog. Laert. I, 118. Uebereinstimmend hiermit: Diodor. Sicul. Fragm. zum 7. — 10. Buch in Excerpt. Vatic.: *Πυθαγόρας πυθόμενος τὸν Φερεκύδην, τὸν ἐπιστάτην αὐτοῦ γεγενημένον, ἐν Δήλῳ νοσεῖν, καὶ τελέως ἐσχάτως ἔχειν, ἔπλευσεν (ἐκ τῆς Ἰταλίας) εἰς τὴν Δῆλον· ἐκεῖ δὲ χρόνον ἱκανὸν τὸν ἄνδρα γηροτροφήσας, πᾶσαν εἰσηνέγκατο σπουδὴν, ὥστε τὸν πρεσβύτην ἐκ τῆς νόσου διασῶσαι. κατισχύσαντος δὲ τοῦ Φερεκύδου διὰ τὸ γῆρας καὶ διὰ τὸ μέγεθος τῆς νόσου, περιέστειλεν αὐτὸν κηδεμονικῶς, καὶ τῶν νομιζομένων ἀξιώσας, ὡσανεὶ τις υἱὸς πατέρα, πάλιν ἐπανῆλθεν (εἰς τὴν Ἰταλίαν).* Die eingeklammerten Worte beziehen sich auf die irrige Annahme des Aristoxenus und der ihm folgenden Schriftsteller, welche oben durch das Zeugniss des Dikäarch und der genaueren Berichterstatter widerlegt wurde. Die Worte *ἀπὸ* oder *ἐκ τῆς Ἰταλίας* und *εἰς τὴν Ἰταλίαν* müssen also gestrichen werden. Dass aber Pythagoras in der angegebenen Zeit (513 v. Chr.), bald nach seiner Rückkehr von seinen Reisen, von Samos aus zu Pherekydes nach Delos ging, erhellt aus der Reihenfolge, in welcher Porphyr. de vit. Pyth. s. 15 die Sache berichtet (siehe die Note 417), und stimmt vollkommen mit der überlieferten Lebenszeit des Pherekydes (siehe Note 152) und der ausdrücklichen Angabe Dikäarchs (siehe Note 316). Auch Diog. Laert. VIII, s. 2, lässt demgemäss den Pythagoras nach dem Tode des Pherekydes nach S a m o s und nicht nach Italien zurückkehren.

416) Jamblich. de vit. Pyth. c. 5, s. 25: *Λέγεται δὲ περὶ τὸν αὐτὸν χρόνον θαυμασθῆναι αὐτὸν περὶ τὴν Δῆλον, προςελθόντα*

πρὸς τὸν ἀναίμακτον λεγόμενον τὸν (statt καὶ) τοῦ Γενέτορος Ἀπόλλωνος βωμόν, καὶ τοῦτον θεραπεύσαντα. Ebenso Diog. Laert. VIII, s. 13: Ἀμέλει καὶ βωμὸν προσκυνῆσαι μόνον ἐν Δήλῳ τὸν Ἀπόλλωνος τοῦ Γενέτορος, ὅς ἐστιν ὄπισθεν τοῦ Κερατίνου, διὰ τὸ πυροὺς καὶ κριθὰς καὶ πόπανα μόνα τίθεσθαι ἐπ' αὐτοῦ ἄνευ πυρός, ἱερεῖον δὲ μηδὲν, ὥς φησιν Ἀριστοτέλης ἐν Δηλίων πολιτείᾳ.

417) Porphyr. de vit. Pyth. s. 15: Νοσήσαντα δὲ τὸν Φερεκύδην ἐν Δήλῳ θεραπεύσας ὁ Πυθαγόρας καὶ ἀποθανόντα θάψας, εἰς Σάμον ἐπανῆλθε πόθῳ τοῦ συγγενέσθαι Ἑρμοδάμαντι τῷ Κρεοφυλίῳ. Wie aus dem ganzen Zusammenhang, so auch aus den ausdrücklichen Worten Porphyrs erhellt also, dass Pythagoras bald nach seiner Rückkehr nach Samos und von Samos aus den Pherekydes in Delos besuchte, und dass er wieder nach Samos zurückkehrte, aus Verlangen, mit Hermodamas zusammen zu seyn, wie es sich nach einer so langen Abwesenheit leicht begreift. Dieselbe Nachricht findet sich, obgleich falsch aufgefasst, auch bei Diog. Laert VIII, s. 2: μετὰ δὲ τὴν ἐκείνου τελευτὴν ἧκεν εἰς Σάμον καὶ ἤκουσεν Ἑρμοδάμαντος ἤδη πρεσβυτέρου. Man sieht, es ist dieselbe Nachricht, wie bei Porphyr, nur dass Diogenes das συγγενέσθαι unrichtig durch ἀκούειν wiedergibt, weil er es irrig auf den Jugend-Unterricht bezog.

418) Das angegebene Jahr erhellt aus dem Besuch der Olympischen Spiele, den Valerius Maximus berichtet (l. VIII, c. 7, extern s. 2). Die Reihenfolge der Reisestationen beruht theils auf den ausdrücklichen Angaben der Alten, theils auf der naturlichen Lage der Orte und den vorhandenen Verbindungsstrassen.

419) Vergl. den kurzen Lebensabriss des Pythagoras bei Val. Maximus (l. VIII, c. 7, extern. s 2). Cretam deinde et Lacedaemona navigavit, quarum legibus ac moribus inspectis ad Olympicum certamen descendit. Justin. hist. l. XX, c. 5: Inde (aus Babylon) regressus Cretam et Lacedaemona, ad cognoscendas Minois et Lycurgi inclytas ea tempestate leges, contenderat. Ebenso Jamblich. de vit. Pyth. c. 5, s. 25.

420) Diog. Laert. VIII, s. 3: Ἐν Κρήτῃ σὺν Ἐπιμενίδῃ κατῆλθεν εἰς τὸ Ἰδαῖον ἄντρον. Vgl. Appulejus Florid. II, 17.

421) Siehe die angeführten Stellen des Valerius Maximus, Justinus und Jamblichus.

422) Valer. Maxim. I. 1.

423) Diog. Laert. prooem s. 12: *Φιλοσοφίαν δὲ πρῶτος ὠνόμασε Πυθαγόρας καὶ ἑαυτὸν φιλόσοφον, ἐν Σικυῶνι διαλεγόμενος Λέοντι τῷ Σικυωνίων τυράννῳ ἢ Φλιασίων, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῇ περὶ τῆς ἄπνου.* Phlius gibt auch Cicero nach demselben Heraklides an: Tuscul. quaest. V, 3: Phliuntem ferunt venisse (Pythagoram) eumque cum Leonte principe Phliasiorum disseruisse.

424) Porphyr. de vit. Pyth. s. 16: *Πλέων Δελφοῖς προσέσχετο.* Nach den vorhergehenden Worten *διενοήθη εἰς Ἰταλίαν ἀπαίρειν* könnte man glauben, Porphyr verlege diesen Aufenthalt zu Delphi in die Reise nach Italien; da er aber unmittelbar nachher erst den Aufenthalt in Kreta berichtet, so ist klar, dass die einzelnen Nachrichten abgerissen und ohne Zusammenhang aufeinander folgen und nicht nach der Ordnung einer Reise.

425) Diog. L. VIII, 8: *Φησὶ δὲ καὶ Ἀριστόξενος τὰ πλεῖστα τῶν ἠθικῶν Πυθαγόραν παρὰ Θεμιστοκλείας τῆς ἐν Δελφοῖς* (statt *τῆς ἀδελφῆς*). Vgl. s. 21: *Ὁ δ' αὐτός φησιν* (*Ἀριστόξενος*), *ὡς προείρηται, καὶ τὰ δόγματα λαβεῖν αὐτὸν παρὰ τῆς ἐν Δελφοῖς Θεμιστοκλείας.* Nach Porphyrius scheint diese Nachricht auf eine Aeusserung des Pythagoras selbst zurückzugehen, der einzelne seiner Vorschriften, offenbar um ihnen ein grösseres Gewicht zu geben, von der Pythia herleitete, — denn eine solche war ja wohl diese Themistoklea, oder Aristoklea, und auch die Thatsache selbst mochte ganz begründet seyn: Porphyr. Vit. Pythagor. s. 41: *καὶ ἄλλ' ἅττα ἐπαίδευεν, ὅσα παρὰ Ἀριστοκλείας τῆς ἐν Δελφοῖς ἔλεγεν ἀκηκοέναι.*

426) Jamblich. de vit. Pyth. c. 28, s. 146: *Λέγει γὰρ* (*Τηλαύγης*) · *Ὅδε* (sc. *λόγος*) *περὶ θεῶν Πυθαγόρα τῶ Μνησάρχω, τὸν ἐξέμαθεν ὀργιασθεὶς ἐν Λιβήθροις τοῖς Θρακίοις, Ἀγλαοφάμω τελετὰς μεταδόντος.* Proclus in Timaeum l. V, p. 291 (ed. Cous.): *Πυθαγόρειος ὁ Τίμαιος ἕπεται ταῖς Πυθαγορείων ἀρχαῖς · αὗται δὲ εἰσιν Ὀρφικαὶ παραδόσεις. Ἃ γὰρ Ὀρφεὺς δι' ἀποῤῥήτων λόγων μυστικῶς παραδέδωκε, ταῦτα Πυθαγόρας ἐξέμαθεν ὀργιασθεὶς ἐν Λιβήθροις τοῖς Θρακίοις, Ἀγλαοφάμου τελετὰς μεταδιδόντος, ἣν περὶ θεῶν σοφίαν παρὰ Καλλιόπης τῆς μητρὸς ἐπινύσθη.* Idem in Theol. l. VI, p. 13 (ed. Cous.): *Ἅπασα ἡ παρ' Ἕλλησι θεολογία τῆς Ὀρφικῆς ἐστι μυσταγωγίας ἔκγονος · πρῶτον μὲν Πυθα-*

γόρου παρ' Ἀγλαοφήμου τὰ περὶ Θεῶν ὄργια διδαχθέντος · δευτέρου δὲ Πλάτωνος ὑποδεξαμένου τὴν παντελῆ περὶ τούτων ἐπιστήμην, ἔκ τε τῶν Πυθαγορείων καὶ Ὀρφικῶν γραμμάτων.

427) Jamblich. de vit. Pythagor. c. 28, s. 151: Ἔτι δέ φασι καὶ σύνθετον αὐτὸν ποιῆσαι τὴν θείαν φιλοσοφίαν καὶ θεραπείαν, ἃ μὲν μαθόντα παρὰ τῶν Ὀρφικῶν, ἃ δὲ παρὰ τῶν Αἰγυπτίων ἱερέων, ἃ δὲ παρὰ Χαλδαίων καὶ Μάγων, ἃ δὲ παρὰ τῆς τελετῆς τῆς ἐν Ἐλευσῖνι γινομένης, ἐν Ἴμβρῳ τε καὶ Σαμοθράκῃ καὶ Δήλῳ. Vgl. die folgende Note.

428) Jamblich. (de vit. Pythag. c. 5, s. 25): Εἰς ἅπαντα τὰ μαντεῖα παρέβαλε. καὶ ἐν Κρήτῃ δὲ καὶ ἐν Σπάρτῃ τῶν νόμων ἕνεκα διέτριψε. καὶ τούτων ἁπάντων ἀκροατής τε καὶ μαθητὴς γενόμενος, εἰς οἶκον ἐπανελθὼν, ὥρμησεν ἐπὶ τὴν τῶν παραλελειμμένων (sc. μαντείων) ζήτησιν, d. h. was er von Kultusstätten auf der Hinreise nicht gesehen hatte, besuchte er auf dem Rückwege nach der Heimath. Es erhellt aus diesen Worten, dass Jamblich einen grösseren Reisebericht vor sich hatte, — auf dessen Einzelnheiten er nicht weiter eingeht, — in der Weise, wie er im Texte aus den erhaltenen Andeutungen zusammengestellt wurde.

429) S. oben Note 23.

430) Porphyr. de vit. Pyth. s. 17.

431) Diodor. Sicul. V, 70, 65; Apollodor. I, 1. Callimach. hymn. in Jovem v. 6 sqq. Strabo l. X, c. 3.

432) Diodor. Sicul. V, 75, III, 62. Clem. Alexandr. protrept. pag. 15; Jul. Firmicus de errore prof. relig. pag. 43. Laurent. Lydus p. 82.

433) Schol. ad Apollon. Rhod. I, 916. Photius bei Lobeck Aglaoph. p. 1249.

434) Strabo l. X, c. 3 (p. 366 Tauchn.): Φερεκύδης δ' ἐξ Ἀπόλλωνος καὶ Ῥυτίας Κορύβαντας ἐννέα · οἰκῆσαι δ' αὐτοὺς ἐν Σαμοθράκῃ.

435) Jul. Firmio. de error. prof. relig. pag. 43: In sacris Corybantum parricidium colitur. Nam unus frater a duobus aliis interemptus est, et sub radicibus Olympi montis a parricidis fratribus consecratur. Hunc eundem Macedonum colit stulta persuasio; hic

est Cabirus, cui Thessalonicenses quondam cruento cruentis manibus supplicabant. cf. Clem. Alex. protrept. c. 2, p. 15 etc.

436) Porphyr. Vit. Pyth. s. 17. Lucian. Jupit. Tragoed. s. 45.

437) In Delphi: Plutarch. de Iside et Osiride c. 35. Eusebii chronic. I. I, p. 17: Liberi Patris apud Delphos sepulchrum juxta Apollinem aureum. In Theben: Clement. Recogn. X, 24, p. 594, sepulcrum Liberi apud Thebas, ubi discerptus traditur.

438) Diodor. Sicul. IV, c. 4: Nachdem er auseinandergesetzt, dass es zwei Dionyse gebe, einen Gott, den Sohn des Zeus und der Persephone, den Sabazios, und einen thebanischen Heros, den Sohn des Zeus und der Semele, fährt er fort: *τοὺς μεταγενεστέρους ἀνθρώπους, ἀγνοοῦντας μὲν τἀληθές, πλανηθέντας δὲ διὰ τὴν ὁμωνυμίαν, ἕνα γεγονέναι νομίσαι Διόνυσον.*

439) Porphyr. Vit. Pyth. s. 17: *Κρήτης δ' ἐπιβὰς τοῖς Μόργου μύσταις προςῄει ἑνὸς τῶν Ἰδαίων Δακτύλων, ὑφ' ὧν καὶ ἐκαθάρθη τῇ κεραυνίᾳ λίθῳ, ἕωθεν μὲν παρὰ θαλάττῃ πρηνὴς ἐκταθεὶς, νύκτωρ δὲ παρὰ ποταμῷ, ἀρνειοῦ μέλανος μαλλοῖς ἐστεφανωμένος· εἰς δὲ τὸ Ἰδαῖον καλούμενον ἄντρον καταβὰς, ἔρια ἔχων μέλανα τὰς νενομισμένας τριττὰς ἐννέα ἡμέρας ἐκεῖ διέτριψε, καὶ καθήγισε τῷ Διῒ, τόν τε στορνύμενον αὐτῷ κατ' ἔτος θρόνον ἐθεάσατο· ἐπίγραμμά τ' ἐνεχάραξεν ἐπὶ τῷ τάφῳ, ἐπιγράψας: Πυθαγόρας τῷ Διῒ. οὗ ἡ ἀρχὴ,*

Ὧδε θανὼν κεῖται Ζᾶν, ὃν Δία κικλήσκουσιν.

440) Lucian. Jupil. Tragoed. s. 45: *Εἰ δὲ ὁ Ζεὺς ὁ βροντῶν ἐστι, σὺ ἂν ἄμεινον εἰδείης· ἐπεὶ οἵ γε ἐκ Κρήτης ἥκοντες ἄλλα ἡμῖν διηγοῦνται, τάφον τινὰ κεῖθι δείκνυσθαι, καὶ στήλην ἐφεστάναι δηλοῦσαν ὡς οὐκέτι βροντήσειεν ἂν ὁ Ζεὺς, πάλαι τεθνεώς.*

441) Plato de legibus I, 1.

442) Diod. Sicul. V, 70; Plato I. I. Dionys. Halicarn. II, 61.

443) Diod. Sicul. I. I.

444) Theophrast. hist. plantt. III, 5.

445) Diodor. Sicul. V, 77: *Τήν τε γὰρ παρ' Ἀθηναίοις ἐν Ἐλευσῖνι γινομένην τελετὴν, ἐπιφανεστάτην σχεδὸν οὖσαν ἁπασῶν, καὶ τὴν ἐν Σαμοθρᾴκῃ, καὶ τὴν ἐν Θρᾴκῃ ἐν τοῖς Κίκοσιν, ὅθεν*

ὁ καταδείξας Ὀρφεὺς ἦν, μυστικῶς παραδίδοσθαι· κατὰ δὲ τὴν Κρήτην ἐν Κνωσσῷ νόμιμον ἐξ ἀρχαίων εἶναι, φανερῶς τὰς τελετὰς ταύτας πᾶσι παραδίδοσθαι, καὶ τὰ παρὰ τοῖς ἄλλοις ἐν ἀπορρήτῳ παραδιδόμενα, παρ' αὐτοῖς μηδένα κρύπτειν τῶν βουλομένων τὰ τοιαῦτα γινώσκειν.

446) Minuc. Felic. Octavius c. 22, p. 233. Julius Firmicus de error. prof. relig. p. 34: a vanis Cretensibus adhuc mortui Jovis tumulus adoratur. Ennii fragm. ed. Hessel p. 324. Chrysost. in epist. Paul. ad Tit. 3: Ἐνταῦθα κεῖται Ζὰν, ὃν Δία κικλήσκουσιν.

447) Diog. Laert. VIII, s. 3: Εἶτα ἐν Κρήτῃ σὺν Ἐπιμενίδῃ κατῆλθεν εἰς τὸ Ἰδαῖον ἄντρον.

448) Diog. Laert. I, c. 10, s. 11: Καὶ ἐπανελθὼν ἐπ' οἶκον, μετ' οὐ πολὺ μετήλλαξεν, ὥς φησι Φλέγων ἐν τῷ περὶ μακροβίων. Ebenso Suidas s. v. Ἐπιμενίδης.

449) Plato de legg. I, p. 642, C: Ἐπιμενίδης, ἐλθὼν δὲ πρὸ τῶν Περσικῶν δέκα ἔτεσι πρότερον παρ' ὑμᾶς κατὰ τὴν τοῦ θεοῦ μαντείαν, θυσίας τε ἐθύσατο τινὰς, ἃς ὁ θεὸς ἀνεῖλε· καὶ δὴ καὶ φοβουμένων τὸν Περσικὸν Ἀθηναίων στόλον, εἶπεν ὅτι δέκα μὲν ἐτῶν οὐχ ἥξουσιν etc. Also auch dieser Epimenides war als Sühnpriester in Athen, um einige vom delphischen Orakel befohlene Opfer zu verrichten. Dass man zur Ausführung solcher Auferlegungen einen der priesterlichen Satzungen besonders kundigen Mann kommen liess, wie Epimenides als Glied einer in Athen durch seinen grossen Vorfahren berühmten Priesterfamilie seyn musste, begreift sich leicht; denn es war wichtig, dass Nichts verfehlt wurde. Dass aber diese θυσίαι τινὲς jene grosse Sühnung Athens von der kylonischen Blutschuld gewesen, ist eine rein willkührliche Annahme, der schon die Ausdrucksweise widerspricht. Denn jene berühmte Sühnung der ganzen Stadt konnte man doch wahrlich nicht θυσίας τινὰς nennen.

450) Plato de legg. III, p. 698, c.

451) Bentley dissert. upon Phalaris p. 58.

452) Diogen. Laert. VIII, c. 2, s. 51 et 52. cf. Empedocl. rell. ed. Karsten, p. 6 sqq. und p. 43, Note 117.

453) Diog. Laert. I, c. 10, s. 111.

454) Diogen. Laert. I, s. 109: *Οὗτός ποτε πεμφθεὶς παρὰ τοῦ πατρὸς εἰς ἀγρὸν ἐπὶ πρόβατον, τῆς ὁδοῦ κατὰ μεσημβρίαν ἐκκλίνας, ὑπ' ἄντρῳ τινὶ κατεκοιμήθη ἑπτὰ καὶ πεντήκοντα ἔτη.*

455) Idem s. 112: *Εἰσὶ δ' οἳ μὴ κοιμηθῆναι αὐτὸν λέγουσιν, ἀλλὰ χρόνον τινὰ ἐκπατῆσαι ἀσχολούμενον περὶ ῥιζοτομίαν.*

456) Ottfr. Müller's Geschichte der griechischen Literatur, Thl. I, p. 421.

457) Fabr. biblioth. gr. l. I, c. 6, p. 33 und 34.

458) Pausan. l. VIII, c. 37, s. 3

459) Athenaei Deipnosoph. l. I, s. 4.

460) Herodot. l. VII, c. 6.

461) Cramer Anecdota graec. Vol. I, p. 6: *Οἱ δὲ τέσσαρσί τισι τῶν ἐπὶ Πεισιστράτου διόρθωσιν ἀναφέρουσιν, Ὀρφεῖ Κροτωνιάτῃ, Ζωπύρῳ Ἡρακλεώτῃ, Ὀνομακρίτῳ Ἀθηναίῳ καὶ τὸν (καλούμενον?) ἐπικὸν κύκλον* (statt der halberhaltenen Worte *και καγ επι κογκυλω*) *Ἀθηνοδώρῳ ἐπίκλην Κορδυλίωνι* (nach Hase's glücklicher Ergänzung).

462) Dies scheint namentlich die Eigenthümlichkeit des Dionysios von Milet bei seiner Darstellung der Sagengeschichte zu seyn, der Diodor in seinem dritten Buche (c. 52, 66) zu folgen angibt, allen dem Diodor zugehörigen Flitter und Redeschmuck abgezogen.

463) Damascius de prim. princ. p. 383: *Τὸν δὲ Ἐπιμενίδην δύο πρώτας ἀρχὰς ὑποθέσθαι, Ἀέρα καὶ Νύκτα, δῆλον ὅτι σιγῇ τιμήσαντα τὴν μίαν πρὸ τῶν δυοῖν* (ein wunderliches und von Damascius öfters gebrauchtes Auskunftsmittel, das erste neuplatonische Princip überall zu finden, wo es nicht steht!) *ἐξ ὧν γεννηθῆναι Τάρταρον, — οἶμαι τὴν τρίτην ἀρχήν, ὥς τινα μικτὴν ἐκ τῶν δυοῖν συγκραθεῖσαν· — ἐξ ὧν δύο τινὰς* (hier fehlt entweder das Verb: *γεννᾶν* oder *πληροῦν*, oder es muss *διατείνειν* statt *δύο τινὰς* gelesen werden) *τὴν νοητὴν μεσότητα* (d. i. offenbar *χάος*, die Kluft, der leere Raum, der sich von der Luft, *ἀήρ*, bis zum Tartaros hin erstreckt, *διατείνει*) — *οὕτω καλέσαντα, διότι ἐπ' ἄμφω διατείνει τό τε ἄκρον καὶ τὸ πέρας, — ὧν μιχθέντων ἀλλήλοις ὠὸν γενέσθαι, τοῦτο ἐκεῖνο τὸ νοητὸν ζῷον ὡς ἀληθῶς, ἐξ οὗ πάλιν γενεὰν προελθεῖν.*

464) Diog. Laert. I, s. 115; Plutarch. vit. Solon c. 12.

465) z. B. Plutarch. de defectu Orac. c. 14. init. *οἱ Δελφῶν θεολόγοι.*

466) z. B. durch die Sanction der lykurgischen Verfassung, Herodot. I, 65; Plutarch. Lycurg. c. 5; oder durch die Sanction der lydischen Dynastie des Gyges, der dem delphischen Orakel seinen Thron verdankte, Herodot. I, 13; die Anhänglichkeit des Krösus an das delphische Orakel erklärt sich hieraus sehr einfach.

467) Schon Perikles erklärte die Berufung auf ein Orakel für einen Vorwand der Feigheit, und eben so geringschätzig äussern sich Epaminondas und Demosthenes. Plutarch. Demosth. c. 20.

468) Schon Anaxagoras erklärte die Wunderzeichen natürlich. Plutarch. Pericl. c. 6.

469) Cicero de divin. II, 24.

470) 1. Sam. XXIII, 6, 9 sqq.; XXX, 7.

471) 4. Mos. 27, 21; cf. 2. Mos. 28, 30.

472) Cic. de divinat. I, 3: Quumque huic rei (divinationi) magnam auctoritatem Pythagoras tribuisset, qui etiam ipse augur vellet esse etc. Jamblich. de vit. Pyth. c. 28, s. 138: *Διὸ καὶ περὶ τὴν μαντικὴν σπουδάζουσι (οἱ Πυθαγόρειοι).*

473) Aureum Carmen. v. 1—3.

474) Jamblich. de vit. Pyth. c. 28, s. 138: *Πάντες οἱ Πυθαγόρειοι ὁμῶς ἔχουσι πιστευτικῶς . . . ., ὡς οὐδὲν ἀπιστοῦντες, ὅτι ἂν εἰς τὸ θεῖον ἀνάγηται;* nach der ganzen offenbar von einem Gegner der Schule herrührenden Stelle, bis zum Uebermaass, ja bis zur Hinneigung zum frommen Betrug: *πᾶσι γὰρ πιστεύουσι τοῖς τοιούτοις* (sc. *τοῖς μυθολογουμένοις*), *πολλὰ δὲ καὶ αὐτοὶ πειρῶνται.*

475) Plutarch. de *Ei* apud Delph. c. 2 in fin., und 3. Diog. VIII, 8 und 21; Porphyr. s. 41.

476) Plutarch. de def. orac. XIV, 323. Lobeck. Aglaoph. I, pag. 618.

477) Pausan. X, 12, 6. Aul. Gell. I, 19.

478) Herodot. VII, 6.

479) Creuzer zu Cic. N. D. II, 3, p. 221.

480) Die Priesterin Diotima im Gastmahl.

481) Lobeck Aglaophamus I, p. 617 sqq.

482) Pausan. l. X, c. 19, s. 3.

483) Euripid. Jon. v. 416: *Δελφῶν ἀριστεῖς*; v. 1219: *κοίρανοι Πυθικοί*; v. 1222: *Δελφῶν ἄνακτες.*

484) Plutarch. quaest. gr. IX.

485) Strabo IX, c. 3, p. 276. Pausan. l. X, c. 6, s. 1 u. 2.

486) Diodor. Sicul. XVI, c. 24.

487) Ovid. Fast. I, 393: Festa corymbiferi celebrabas, Graecia, Bacchi, Tertia quae solito tempore bruma refert. cf. Hymn. orph. 44 in Semel. *ἀνὰ τριετηρίδας ὥρας.* Euripid. Bacch. v. 133: *τριετηρίδων, αἷς χαίρει Διόνυσος ἡδὺς ἐν οὔρεσιν.*

488) Pausan. l. X, c. 4, s. 2; c. 32, s. 5; Sophocl. Antigon. v. 1126 sqq.

489) In der oben angeführten Stelle des Ovid wird ausdrücklich die bruma, das Winter-Solstiz, — (bruma dicta, quod brevissimus dies est, Varro de Ling. lat. V, 2.), — als Zeitpunkt der trieterischen Dionysien angegeben; die Nachtzeit erhellt aus Sophocl. Antigon. v. 1147 und 1151, wo Dionys angeredet wird: *νυχίων φθεγμάτων ἐπίσκοπε, ... ἅμα σαῖς περιπόλοις Θυιάσιν, αἵ σε μαινόμεναι πάννυχοι χορεύουσιν.*

490) Plutarch. de Iside et Osir. c. 35.

491) Plutarch. de prim. frigid. c. 18: *Ἐν δὲ Δελφοῖς αὐτὸς ἤκουες, ὅτι τῶν εἰς τὸν Παρνασὸν ἀναβάντων βοηθῆσαι ταῖς Θυιάσιν, ἀπειλημμέναις ὑπὸ πνεύματος χαλεποῦ καὶ χιόνος, οὕτως ἐγένοντο διὰ τὸν πάγον σκληραὶ καὶ ξυλώδεις αἱ χλαμύδες, ὡς καὶ θραύεσθαι διατεινομένας καὶ ῥήγνυσθαι.*

492) Heraclit. fr. 70 (Schleiermacher): *Ὡὐτὸς δὲ Ἀΐδης καὶ Διόνυσος· ὅτεῳ μαίνονται καὶ ληναΐζουσι.* Servius ad Virg. Georg. I, 166: Liberi Patris sacra ad purgationem animae pertinebant.

493) Aeschyl. Edon. apud. Strab. l. X, p. 470; cf. Euripid. Bacch. Chorus v. 64—169.

494) Pausan. l. X, c. 6, s. 2: *Μαινάδες, Θυιάδες, ὅσαι τῷ Διονύσῳ μαίνονται.*

495) Jul. Firmicus de errore prof. rel. p. 26 und 27: Festos funebres dies statuunt et annuum sacrum trieterica consecratione componunt, omnia per ordinem facientes, quae puer moriens aut fecit aut passus est, vivum laniant dentibus taurum, et per secreta silvarum dissonis clamoribus ejulantes fingunt animi furentis insaniam. Praefertur cista, in qua cor soror absconderat; tibiarum cantu et cymbalorum tinnitu, crepundia, quibus puer deceptus fuerat, mentiuntur.

496) Olympiodor. ad Plat. Phaedr. c. 32: *ὁ Διόνυσος λύσεώς ἐστιν αἴτιος, διὸ καὶ Λυσεὺς ὁ θεός, καὶ Ὀρφεύς φησιν:*

....Ἄνθρωποι δὲ τελήεσσας ἑκατόμβας
Πέμψουσιν πάσῃσιν ἐν ὥραις ἀμφιέτεσσιν,
Ὄργια τ' ἐκτελέσουσι λύσιν προγόνων ἀθεμίστων
Μαιόμενοι· σὺ δὲ τοῖσιν ἔχων κράτος, οὓς κ' ἐθέλῃσθα
Λύσεις ἔκ τε πόνων χαλεπῶν καὶ ἀπείρονος οἴστρου.

497) Pindar Isthm. VI, 3: *Χαλκοκρότου πάρεδρος Δαμάτερος.* Scholiast. ad Aristoph. Ran. 326: *συνίδρυται τῇ Δήμητρι ὁ Διόνυσος· εἰσὶ γοῦν οἵπερ φασὶν αὐτὸν Περσεφόνης εἶναι, οἱ δὲ τῇ Δήμητρι συγγενέσθαι, ἄλλοι δὲ ἕτερον τοῦ Διονύσου εἶναι τὸν Ἴακχον.* Dagegen Schol. ad Arist. p. 213: *τὸν Ἴακχον λέγουσιν εἶναι Δήμητρος, τὸν αὐτὸν καὶ Διόνυσον.* Also Demeter und Dionysos, wie Mutter und Sohn. So erscheint das Verhältniss in den eleusinischen und in den samothrakischen Mysterien, und daraus erklärt sich auch die mehrfache Verbindung des Dionysoskultus mit dem der Rhea oder der Kybele (Euripid. Bacch. v. 59 und 79); denn Rhea, Demeter, Kybele sind, wie schon im vorhergehenden Bande nachgewiesen wurde, nur verschiedene Localformen des älteren ägyptischen Begriffes der Netpe.

498) Plutarch. de Isid. et Osirid. c. 35. Eckhel de numm. vet. T. I, p. 136—140. Plutarch. quaest. gr. XXXVI.

499) Plutarch. de Isid. et Osirid. c. 35.

500) Jul. Firmic. l. l.

501) Jul. Firm. l. l. cf. Euripid. Bacch. v. 138: *ἀγρεύων αἷμα τραγοκτόνον, ὠμοφάγον χάριν.*

502) Plutarch. Symposiac. l. VIII, prooem.: *παρ' ἡμῖν τὸν Διόνυσον αἱ γυναῖκες ὡς ἀποδεδρακότα ζητοῦσιν· εἶτα παύονται καὶ λέγουσιν, ὅτι πρὸς τὰς Μούσας καταπέφευγε καὶ κέκρυπται παρ' ἐκείναις.* Justin. contr. Tryph pag. 295: *Τὸν Διόνυσον υἱὸν τοῦ Διὸς ἐκ μίξεως, ἣν μεμίχθαι αὐτὸν τῇ Σεμέλῃ, γεγενῆσθαι λέγουσι καὶ τοῦτον εὑρέτην ἀμπέλου γενόμενον, καὶ διασπαραχθέντα, καὶ ἀποθανόντα ἀναστῆναι, εἰς οὐρανόν τε ἀνεληλυθέναι ἱστοροῦσι. Καὶ οἶνον ἐν τοῖς μυστηρίοις αὐτοῦ παραφέρουσι.*

503) Diodor. l. IV, c. 3: *Παρὰ πολλαῖς τῶν Ἑλληνίδων πόλεων διὰ τριῶν ἐτῶν βακχεῖά τε γυναικῶν ἀθροίζεσθαι καὶ ταῖς παρθένοις νόμον εἶναι θυρσοφορεῖν καὶ συνενθουσιάζειν εὐαζούσαις καὶ τιμώσαις τὸν θεόν· τὰς δὲ γυναῖκας κατὰ συστήματα θυσιάζειν τῷ θεῷ καὶ βακχεύειν, καὶ καθόλου τὴν παρουσίαν ὑμνεῖν τοῦ Διονύσου, μιμουμένας τὰς ἱστορουμένας τὸ παλαιὸν παρεδρεύειν τῷ θεῷ μαινάδας.* Cf. Sophocl. Antigon. v. 1115—1154.

504) Plutarch. Vit. Alex. Magn. c. 2.

505) Pausan. II, 2. 6; IX, 20, 4.

506) Pausan. X, 19, 3; Sophocl. Antigon. v. 1150; Athen. X, 445, B; Jul. Firmic. l. I.

507) Suidas s. v. *τριετηρίδες*; Athen. XI, p. 476, A.

508) Euripid. Bacch. v. 55—59, 72—81, 85, 140.

509) Pausan. X, 33, 5.

510) Scholiast. zu Aristoph. Acharn. v. 195.

511) Pausan. X, 4, 2. cf. Bergk Comoed. antiq. p. 88.

512) Pausan. I, 40, 5; 43, 5; II, 30, 1; II, 24, 6; VII, 27, 1; VII, 18, 3; 19, 3; 21, 1, 2.

513) Pausan. V, 16, 5; VI, 26, 1

514) Pausan. IV, 31, 4; VIII, 6, 2; 26, 2; III, 22, 2; 24, 3; 26, 8; III, 20, 4; III, 13, 5. Strabo VIII, p. 363.

515) Sophocl. Antigon. v. 1117: *κλυτὰν ὃς ἀμφέπεις Ἰταλίαν* (in einem Chorgesang an den Dionysos). Livius XXXIX, c. 15: Bacchanalia tota jam pridem Italia (sc. celebrata esse). Die allgemeine Verbreitung dieses trieterischen Dionysos-Kultus in allen diesen Gegenden beweisen die vielen Münzen mit dem menschen-

köpfigen Stierbilde des Gottes: Eckhel, doctr. Numm. vett. T. I, pag. 136—140. Grysar de Doriens. comoed. p. 35 sq.

516) Ottfr. Müller's Etrusker T. II, p. 76.

517) Livius XXXIX, c. 8—18.

518) Euripid. Bacch. v. 778: *ὥστε πῦρ ἐφάπτεται ὕβρισμα βακχῶν, ψόγος ἐς Ἕλληνας μέγας.*

519) Isocrat. Busiris s. 11.

520) S. Jamblich. de vit. Pyth. s. 151. Ausser der Wiederherstellung des alten orphischen Kultes scheint aber Pythagoras überhaupt den Gottesdienst in vielen Stücken vereinfacht und geläutert zu haben, z. B. durch die Ersetzung des blutigen Opfer-Rituals mit einem dem Kulte der Perser (Mager) nachgebildeten (Jamblich. Vit. Pyth s. 151, und Porphyr. Vit. Pyth s. 6: *περὶ δὲ τὰς τῶν θεῶν ἁγιστείας,* — *θεραπείας* sagt Jamblich, — *παρὰ τῶν Μάγων φησὶ διακοῦσαι τε καὶ λαβεῖν*) einfacheren, unblutigen für sich und seine engere Schule (Jamblich. de vit. Pyth. s. 150: *Ἐπέθυε δὲ θεοῖς λίβανον, κέγχρους, πόπανα, κηρία καὶ τἄλλα θυμιάματα· ζῶα δὲ αὐτὸς οὐκ ἔθυεν, οὐδὲ τῶν θεωρητικῶν φιλοσόφων οὐδείς*). Damit hängt dann nothwendig zusammen die Ersetzung der Weissagung aus den Eingeweiden der Opferthiere, welche Pythagoras natürlich auch verwarf (Jamblich. s. 147), durch die Weissagung aus dem Weihrauch (Porphyr. V. Pyth. s. 11: *καὶ τῇ διὰ λιβανωτοῦ μαντείᾳ πρῶτος ἐχρήσατο*, cf. Diogen. Laert. VIII, s. 20.)

521) Jamblich. de vit. Pyth. s. 151: *Ὅλως δέ φασι Πυθαγόραν ζηλωτὴν γενέσθαι τῆς Ὀρφέως ..... διαθέσεως* (Satzung), *καὶ τιμᾶν τοὺς θεοὺς Ὀρφεῖ παραπλησίως ..... ἀγγέλλειν δὲ αὐτῶν τοὺς καθαρμοὺς καὶ τὰς λεγομένας τελετὰς, τὴν ἀκριβεστάτην εἴδησιν αὐτῶν ἔχοντα. ἔτι δέ φασι καὶ σύνθετον αὐτὸν ποιῆσαι τὴν θείαν φιλοσοφίαν καὶ θεραπείαν, ἃ μὲν μαθόντα παρὰ τῶν Ὀρφικῶν (τὰ Ὀρφικά,* die trieterischen Dionysien), *ἃ δὲ παρὰ τῶν Αἰγυπτίων ἱερέων, ἃ δὲ παρὰ Χαλδαίων καὶ Μάγων, ἃ δὲ παρὰ τῆς τελετῆς τῆς ἐν Ἐλευσῖνι γινομένης.*

522) Die Pythagoreerin Phintys (Stob. Serm. Tit. 74. n. 61, p. 444 und 445) erklärt es für eine Pflicht weiblicher Sittsamkeit (*σωφροσύνης*) *μὴ χρέεσθαι τοῖς ὀργιασμοῖς* (den Dionysosdienst)

καὶ ματρωσμοῖς (den Kybeledienst), *ὅτι μέθας καὶ ἐκστάσιας ψυχᾶς ἐπάγοντι ταὶ θρησκεύσιες αὖται.*

523) Strabo l. X, c. 3, pag. 362 (edit. Tauchn.). Lobeck Aglaopham. p. 297.

524) In Libethri, Jamblich. de vit. Pythag. s. 146, und bei den Kikonen: Diodor. Sicul. V, 77.

525) Herodot. VII, c. 111.

526) Apollodori biblioth. I, c. 3, s. 2: *Εὗρε δὲ Ὀρφεὺς καὶ τὰ Διονύσου μυστήρια.*

527) Pompon. Mela l. II, c. 2, p. 31 (ed. Tauchn.).

528) Plutarch. Vit. Alex. M. c. 2.

529) Strab. X, 3, p. 362 (ed. Tauchn.): *Καὶ ὁ Σαβάζιος δὲ τῶν Φρυγιακῶν ἐστι, καὶ τρόπον τινὰ τῆς Μητρὸς τὸ παιδίον, παραδιδόμενος τοῖς Διονύσου καὶ αὐτός. Τούτοις δ' ἔοικε καὶ τὰ παρὰ τοῖς Θρᾳξὶ τά τε Κοτύττια καὶ τὰ Βενδίδεια· παρ' οἷς καὶ τὰ Ὀρφικὰ τὴν καταρχὴν ἔσχε.* In dem phrygischen Weihedienst der Kybele war also Sabazios (Dionysos) das Kind der Kybele (Demeter), wie es auch in dem Weihedienst des Dionysos überliefert wurde. Was nun den Phrygiern der Kybeledienst, das sind den Thrakiern die Kotyttien und Bendidien, und ebenso entsprechen den Dionysien die Orphika. Die Stelle ist für die im Vorhergehenden nachgewiesene Verwandtschaft aller dieser Kulte bezeichnend.

530) Herodot. l. II, c. 81: *Ἐνδεδύκασι δὲ κιθῶνας λινέους· ἐπὶ τούτοισι δὲ εἰρίνεα εἵματα λευκὰ ἐπαναβληδὸν φορέουσι· οὐ μέντοι ἔς γε τὰ ἱρὰ ἐςφέρεται εἰρίνεα, οὐδὲ συγκαταθάπτεταί σφι· οὐ γὰρ ὅσιον· ὁμολογέουσι δὲ ταῦτα τοῖσι Ὀρφικοῖσι καλεομένοισι καὶ Βακχικοῖσι, ἐοῦσι δὲ Αἰγυπτίοισι καὶ Πυθαγορείοισι· οὐδε γὰρ τούτων τῶν ὀργίων μετέχοντα ὅσιόν ἐστι ἐν εἰρινέοισι εἵμασι θαφθῆναι.*

531) Mit dieser Angabe Herodots bezüglich der Pythagoreer stimmt auch Jamblich. de vit. Pyth. s. 155: *Τοὺς δὲ τελευτήσαντας ἐν λευκαῖς ἐσθῆσι προπέμπειν ὅσιον ἐνόμιζε.* Dass unter diesen weissen Kleidern linnene verstanden sind, erhellt aus s. 149: *Ἐσθῆτι δὲ ἐχρῆτο λευκῇ καὶ καθαρᾷ* (sc. Pythagoras)· *ὡςαύτως δὲ καὶ στρώμασι λευκοῖς καὶ καθαροῖς· εἶναι δὲ καὶ τὰ τοιαῦτα λινᾶ·*

κωδίοις γὰρ οὐκ ἐχρῆτο· καὶ τοῖς ἀκροαταῖς δὲ τοῦτο τὸ ἔθος παρέδωκεν. Dasselbe wird in s. 100 fast mit denselben Worten wiederholt.

532) Jamblich. de vit. Pyth. c. 28, s. 146: *Οὐκ ἔτι δὴ οὖν ἀμφίβολον γέγονε, τὸ τὰς ἀφορμὰς παρὰ Ὀρφέως λαβόντα Πυθαγόραν συντάξαι τὸν περὶ θεῶν λόγον, ὃν καὶ ἱερὸν διὰ τοῦτο ἐπέγραψεν, ... εἴτε ὄντως τοῦ ἀνδρὸς, ὡς οἱ πλεῖστοι λέγουσι, σύγγραμμά ἐστιν, εἴτε Τηλαύγους, ὡς ἔνιοι τοῦ διδασκαλείου ἐλλόγιμοι καὶ ἀξιόπιστοι διαβεβαιοῦνται, ἐκ τῶν ὑπομνημάτων τῶν Δαμοῖ τῇ θυγατρὶ ἀδελφῇ δὲ Τηλαύγους ἀπολειφθέντων ὑπ' αὐτοῦ τοῦ Πυθαγόρου...... Δηλοῦται δὴ διὰ τοῦ Ἱεροῦ λόγου ἢ περὶ θεῶν λόγου, (ἐπιγράφεται γὰρ ἀμφότερα,) καὶ τίς ἦν ὁ παραδεδωκὼς Πυθαγόρᾳ τὸν περὶ θεῶν λόγον· λέγει γάρ· „Ὅδε περὶ θεῶν* (sc. *λόγος ἐστὶ*) *Πυθαγόρα τῶ Μνησάρχω, τὸν ἐξέμαθεν* (statt -*ον*) *ὀργιασθεὶς ἐν Λιβήθροις τοῖς Θρακίοις, Ἀγλαοφάμω τελετὰς μεταδόντος.* Was nun weiter folgt, ist Uebergang zu einer Darstellung der pythagoreischen Zahlenlehre, die auf Orpheus zurückgeführt wird, entweder nach einem Vorgeben des Pythagoras selbst, oder nur des Telauges, oder auch nur der spateren Auszugler, die vielleicht zwei gar nicht unmittelbar zusammengehörige Stellen mit einander verbanden. Dies letztere scheint fast das Wahrscheinlichere, da Proclus (s. oben Note 326), der an zwei verschiedenen Stellen diese Aufnahme des Pythagoras in die orphischen Weihen vor Augen hat, Nichts von Mittheilung einer Zahlenlehre weiss, sondern nur im Allgemeinen einer *περὶ θεῶν σοφία*, also einer Götterlehre, und besonderer *περὶ θεῶν ὄργια*, also eines eigenthümlichen Kultes, gedenkt, was auch an sich bei weitem das Natürlichste ist.

533) Plutarch. quaest. gr. XII; de defect. oracul. 14; Aelian. var. hist. III, 1.

534) „Von Delphi bis zum Ausgang des Tempethales sind „4—5 Tagreisen *ἀνδρὸς εὐζώνου*. Von Delphi bis in die Thermo- „pylen rechne ich circa 18 Stunden; von den Thermopylen bis „Larissa etwa 26 Stunden, und von Larissa bis zur Peneiosmündung „habe ich, Schritt reitend, auch nicht mehr als 9 gute Stunden ge- „braucht.“ Fallmerayer.

535) Herodot. II, 51: *Ὅστις δὲ τὰ Καβείρων ὄργια μεμύηται, τὸ Σαμοθρήϊκες ἐπιτελέουσι, παραλαβόντες παρὰ Πε-*

λασγῶν, οὗτος ὠνὴρ οἶδε τὸ λέγω. (Es war von den phallischen Hermen bei den Athenern die Rede.) τὴν γὰρ Σαμοθρηΐκην οἴκεον πρότερον Πελασγοὶ οὗτοι, τοίπερ Ἀθηναίοισι σύνοικοι ἐγένοντο, καὶ παρὰ τούτων Σαμοθρήϊκες τὰ ὄργια παραλαμβάνουσι. ὀρθὰ ὦν ἔχειν τὰ αἰδοῖα τἀγάλματα τοῦ Ἑρμέω, Ἀθηναῖοι πρῶτοι Ἑλλήνων παρὰ Πελασγῶν μαθόντες ἐποιήσαντο. Οἱ δὲ Πελασγοὶ ἱρόν τινα λόγον περὶ αὐτοῦ ἔλεξαν, τὰ ἐν τοῖσι ἐν Σαμοθρηΐκῃ μυστηρίοισι δεδήλωται. cf. Cic. de Nat. Deor. III, 22.

536) Pausan. X, 28.

537) Strabo X, c. 3, p. 365 sqq. ed. Tauchn.

538) Hesych. s. v. Κάβειροι: πάνυ δὲ τιμῶνται οὗτοι ἐν Λήμνῳ ὡς θεοί· λέγονται δὲ εἶναι Ἡφαίστου παῖδες.

539) Stephan. Byzant. v. Ἴμβρ.: Ἴμβρος, νῆσος ἱερὰ Καβείρων καὶ Ἑρμοῦ, ὃν Ἴμβρον λέγουσι Μάκαρες.

540) Pausan. IX, 25, 5; IV, 1, 5.

541) Pausan. IX, 22, 5.

542) Lactant. I, 15, 8. Firmicus de error. prof. rel. p. 23.

543) Pausan. I, 4, 6.

544) Clement. Alexandr. protrept. p. 16.

545) Pausan. IX, 25, 5; 22, 5.

546) Heraclit. fragm. 70, p. 524 (Schleiermacher).

547) Scholiast. zu Apollon. Rhod. I, 916: Οἷς δὲ μυοῦνται ἐν Σαμοθρᾴκῃ, Καβείρους εἶναί φησι Μνασέας, τρεῖς ὄντας τὸν ἀριθμόν, Ἀξίερον, Ἀξιόκερσαν, Ἀξιόκερσον. Ἀξίερον μὲν εἶναι τὴν Δήμητραν, Ἀξιόκερσαν δὲ τὴν Περσεφόνην, Ἀξιόκερσον δὲ τὸν Ἅιδην. Οἱ δὲ προστιθέασι καὶ τέταρτον Κασμῖλον· ἔστι δὲ οὗτος ὁ Ἑρμῆς, ὡς ἱστορεῖ Διονυσόδωρος. Auch in der oben angeführten Stelle des Stephanus Byzant. wird Hermes neben den Kabiren genannt.

548) Liv. XLV, 5; Plutarch. apophthegm. lacon. Antalcid. p. 121 ed. Tauchn.

549) Aristides Panathen. T. I, p. 189: Τὰ τῶν Σαμοθρᾳκῶν ἱερὰ πάντων ὀνομαστότατα πλὴν τῶν Ἐλευσινίων.

550) Plutarch. Lucull. 13. Tacit. Annal. II, 54.

551) Scholiast. zu Aristid. p. 106; Lucian. Dea Syria 15.

552) Plin. Hist. Nat. XXXVI, c. 4, s. 7.

553) Varro de Ling. lat. IV, p. 17: Neque ut vulgus putat, hi Samothraces dii, qui Castor et Pollux. cf. Pausanias X, 38: *οἵτινες δὲ θεῶν εἰσιν οἱ Ἄνακτες παῖδες οὐ κατὰ ταὐτά ἐστιν εἰρημένον, ἀλλὰ οἱ μὲν εἶναι Διοςκούρους, οἱ δὲ πλέον τι ἐπίστασθαι νομίζοντες Καβείρους λέγουσι.*

554) Sosicrates *ἐν διαδοχαῖς* bei Diog. Laert. l. VIII, c. VI. Heraclides Ponticus *ἐν τῇ περὶ τῆς ἄπνου* bei Diog. Laert. prooem. s. 12. Aus derselben Quelle Cic. Tuscul. disputt. c. 3, s. 8 (ut scribit auditor Platonis Ponticus Heraclides, vir doctus in primis) und mit Cicero fast wörtlich übereinstimmend Jamblich de vit. Pyth. c. 12.

555) Cic. de Orat. l. III, c. 16, s. 56: Eadem autem alii prudentia, sed consilio ad vitae studia dispari, quietem atque otium seculi, ut Pythagoras, Democritus, Anaxagoras, a regendis civitatibus totos se ad cognitionem rerum transtulerunt, quae vita propter tranquillitatem et propter ipsius scientiae suavitatem, qua nihil est hominibus jucundius, plures, quam utile fuit rebus publicis, delectaret. Ebenso Tuscul. disp. V, c. 23, s. 66: Alterius mens rationibus agitandis exquirendisque alebatur, cum oblectatione sollertiae, qui est unus suavissimus pastus animorum. Age confer Democritum, Pythagoram, Anaxagoram.

556) Plato de rep. X, p. 600, C: *Ἀλλὰ δὴ εἰ μὴ δημοσίᾳ, ἰδίᾳ τισὶν ἡγεμὼν παιδείας αὐτὸς ζῶν λέγεται; ...... ὥςπερ Πυθαγόρας αὐτὸς διαφερόντως ἐπὶ τούτῳ ἠγαπήθη.* Es wird daher dem Pythagoras durchaus nur der indirekte Einfluss auf die Politik zugeschrieben, den jeder ausgezeichnete Mann naturgemass durch seine Schüler und Freunde ausübt, indem er ihrer Denkart eine bestimmte Richtung gibt, wie Plutarch. philos. esse cum princ. I, 11, sagt: *ἐὰν ἄρχοντα ἄνδρα ἀναπλήσῃ καλοκἀγαθίας, ὡς Ἀναξαγόρας Περικλεῖ συγγενόμενος, καὶ Πυθαγόρας τοῖς πρωτεύουσιν Ἰταλιωτῶν.*

557) Jamblich. de vit. Pyth. c. 5, s. 20—28. Antiphon bei Porphyr. V. P. s. 9.

558) Herodot. VIII, 47. Strabo l. VI, c. 1, p. 19, ed. Tauchn.

559) Strabo VI, c. 2, p. 35, ed. Tauchn.

560) Thucydides VI, 44; VII, 33.

561) Strabo VI, c. 2, p. 30, ed. Tauchn.

562) Livius XXIV, 3.

563) Strabo l. VI, c. 1, p. 19, ed. Tauchn.

564) Strabo VI, c. 3 init., p. 43, ed. Tauchn.

565) Strabo l. I. p. 18, ed. Tauchn.

566) Polyb. hist. l. II, c 39, s. 3.

567) Herodot. VII, 170.

568) Strabo l. VI, c. 1, p. 21.

569) Herodot. VIII, 56 sq., 75 sq.

570) Herodot. VIII, 47. cf. Pausan. X, 9, 1.

571) Herodot. VI, 21; III, 138.

572) Franzii elem. epigraph. gr. p. 69.

573) Suidas s. v. *Ῥίνθων*.

574) Unter ihren Epigrammen in der Anthologie befindet sich ein Epithymbion auf Rhinthon: Anthol. l. VII, 414.

575) Livius IX, 14; X, 2. Diodor. XX, 104.

576) Er war ein Zeitgenosse des Musikers Stratonikos: Athen. IV, p. 163, d, der selber um 310 v. Chr. G. starb. Athen. VIII, s. 46 in fine, p. 352.

577) Athen. l. XII, s. 17, p. 519 med.

578) Athen. l. l. s. 20, p. 521 med.

579) Athen. l. l. s. 15, p. 518 med.

580) Athen. l. l. s. 15 init. Smindyrides rühmte sich zum Beweis seines wohlgepflegten Lebens, dass er seit zwanzig Jahren die Sonne nicht habe auf- und untergehen sehen. Athen. l. VI, s. 105, p. 273 med.

581) Athen. l. XII, s. 17 init.

582) Athen. l. VI, s. 105; XII, 58. Diodor. fragm. l. VIII (Tom. VI, p. 19, ed. Tauchn.). Ael. V. H. XII, 24.

583) Athen. l. XII, s. 16 init. p. 518 in fine.

584) Athen. l. XII, s. 16.

585) Athen. l. XII, s. 17 init.

586) Aristot. de mirab. ausc, p. 199, ed. Tauchn. Athen. l. XII, s. 58.

587) Athen. l. XII, s. 17 init.

588) Athen. l. XII, s. 19.

589) Athen. l. XII, s. 21, p. 522.

590) Athen. l. XII, s. 15 in fine.

591) Athen. l. XII, s. 19 in fine.

592) Diodor. Sic. fragm. l. VIII (Tom. VI, p. 19, ed. Tauchn.).

593) Aristophanis vesp. v. 1259. *Συβαριτικὸν γέλοιον*, wie z. B. v. 1427 sq. und 1437 sq.

594) Polyb. l. VII, c. 1, s. 1.

595) Justin. l. XX, c. 4 init.

596) Athen. l. XII, s. 15 init.

597) Diodor. l. XII, c. 26 in fine.

598) Diodor. l. XIII, c. 83.

599) Athen. l. IV, s. 61 in fine.

600) Aelian. V. H. XII, 30.

601) Plato de legg. I, p. 637, b.

602) Athen. l. IV, s. 61 in fine.

603) Aelian. Var. hist. III, 43:

Βαῖν' ἀπ' ἐμῶν τριπόδων, ἔτι τοι φόνος ἀμφὶ χέρεσσι
Πουλὺς ἀποστάζων ἀπὸ λαΐνου οὐδοῦ ἐρύκει.
Οὔ σε θεμιστεύσω. Μουσῶν θεράποντα κατέκτας
Ἥρης πρὸς βωμοῖσι, θεῶν τίσιν οὐκ ἀλεείνας.
Τοῖς δὲ κακῶς ῥέξασι δίκης τέλος οὐχὶ χρονιστὸν
Οὐδὲ παραιτητὸν, οὐδ' εἰ Διὸς ἔγγονοι εἶεν.
Ἀλλ' αὐτῶν κεφαλῇσι καὶ ἐν σφετέροισι τέκεσσιν
Εἴλεῖται, καὶ πῆμα δόμοις ἐπὶ πήματι βαίνει.

604) Dass seine Mutter bei ihm war, erhellt aus Diogen. L. VIII, s. 41.

605) Suidas sub. voc. *Δημοκήδης*. Herodot. III, 131.

606) Grysar de Doriensium comoedia, p. 87 sqq.

607) Aristotel. metaphys. I, 5: *Ὅνπερ τρόπον ἔοικε καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης ὑπολαβεῖν, καὶ ἤτοι οὗτος παρ' ἐκείνων (τῶν Πυθαγορείων) ἢ ἐκεῖνοι παρὰ τούτου παρέλαβον τὸν λόγον τοῦτον· καὶ γὰρ ἐγένετο τὴν ἡλικίαν Ἀλκμαίων ἐπὶ γέροντι Πυθαγόρᾳ, ἀπεφήνατο δὲ παραπλησίως τούτοις· φησὶ γὰρ εἶναι δύο τὰ πολλὰ τῶν ἀνθρωπίνων, λέγων τὰς ἐναντιότητας ..... παρὰ μὲν οὖν τούτων τοσοῦτον ἔστι λαβεῖν, ὅτι τἀναντία ἀρχαὶ τῶν ὄντων.*

608) Diogen. Laert. VIII, 83: *Ἀλκμαίων Κροτωνιάτης τάδε ἔλεξε, Πειρίθου υἱός, Βροντίνῳ καὶ Λέοντι καὶ Βαθύλλῳ· Περὶ τῶν ἀφανέων, περὶ τῶν θνητῶν σαφήνειαν μὲν θεοὶ ἔχοντι* etc., so lautete der Eingang seiner Schrift.

609) Plutarch. Sympos. VIII, 8. Apulej. Apolog. p. m. 294. Porphyr. de vit. Pyth. s. 25. Jamblich. V. P. s. 36.

610) Jamblich. de vit. Pyth. s. 132.

611) Porphyr. de vit. Pyth. sect. 18: *Ἐπεὶ δὲ τῆς Ἰταλίας ἐπιβὰς ἐν Κρότωνι ἐγένετο, φησὶν ὁ Δικαίαρχος, ὡς ἀνδρὸς ἀφικομένου πολυπλάνου τε καὶ περιττοῦ, καὶ κατὰ τὴν ἰδίαν φύσιν ὑπὸ τῆς τύχης εὖ κεχορηγημένου, — τήν τε γὰρ ἰδέαν εἶναι ἐλευθέριον καὶ μέγαν, χάριν τε πλείστην καὶ κόσμον ἐπί τε τῆς φωνῆς καὶ τοῦ ἤθους καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ἔχειν, — οὕτως διατεθῆναι τὴν Κροτωνιατῶν πόλιν, ὥστ' ἐπεὶ τὸ τῶν γερόντων ἀρχαῖον ἐψυχαγώγησε, πολλὰ καὶ καλὰ διαλεχθεὶς τοῖς νέοις, πάλιν ἡβητικὰς ἐποιήσατο παραινέσεις, ὑπὸ τῶν ἀρχόντων κελευσθεὶς μετὰ ταῦτα, τοῖς παισὶν ἐκ τῶν διδασκαλείων ἀθρόως συνελθοῦσιν·* (so muss interpungirt werden, mit Ausstossung des nach *μετὰ* eingeschobenen *δὲ*; denn nur vier und nicht fünf Reden hielt Pythagoras) *εἶτα ταῖς γυναιξὶ, καὶ γυναικῶν σύλλογος αὐτῷ κατεσκευάσθη.*

612) Cic. de officils I, 30.

613) Plutarch. de adulatoris et amici discr. p. 70, D, s. 32.

614) Jamblich. de vit. Pyth. s. 37, in der Rede an die Junglinge: *Παραδέδοται λόγους τινὰς διαλεχθῆναι.*

615) Jambl. de vit. Pyth. s. 37: *Καὶ μετ' ὀλίγας ἡμέρας εἰσῆλθεν εἰς τὸ γυμνάσιον. περιχυθέντων δὲ τῶν νεανίσκων,*

παραδέδοται λόγους τινὰς διαλεχθῆναι πρὸς αὐτούς, ἐξ ὧν εἰς σπουδὴν παρεκάλει τὴν περὶ τοὺς πρεσβυτέρους· ἀποφαίνων ἔν τε τῷ κόσμῳ καὶ τῷ βίῳ καὶ ταῖς πόλεσι καὶ τῇ φύσει μᾶλλον τιμώμενον τὸ προηγούμενον τῷ χρόνῳ ἢ τὸ ἑπόμενον· οἷον τὴν ἀνατολὴν τῆς δύσεως, τὴν ἕω τῆς ἑσπέρας, τὴν ἀρχὴν τῆς τελευτῆς, τὴν γένεσιν τῆς φθορᾶς· παραπλησίως δὲ καὶ τοὺς αὐτόχθονας τῶν ἐπηλύδων· ὁμοίως δὲ αὐτῶν τῶν ἐν ταῖς ἀποικίαις τοὺς ἡγεμόνας καὶ τοὺς οἰκιστὰς τῶν πόλεων· καὶ καθόλου τοὺς μὲν θεοὺς τῶν δαιμόνων, ἐκείνους δὲ τῶν ἡμιθέων, τοὺς ἥρωας δὲ τῶν ἀνθρώπων, ἐκ τούτων δὲ τοὺς αἰτίους τῆς γενέσεως τοῖς νεωτέροις. Diese Einleitung darf wohl als eine Probe von der weiteren Ausführung gelten, welche die Reden, von denen uns nur der kurze Gedankengang überliefert ist, beim mündlichen Vortrage hatten. Man sieht, die copia dicendi, ein Reichthum an Detail, fehlte dem Pythagoras durchaus nicht, und man muss sich demnach die Reden als von ziemlichem Umfange denken. Auch diese Ungleichmässigkeit der erhaltenen Auszüge in der Ausführung spricht für ihre Aechtheit; denn fingirte, von einem späteren Darsteller herrührende Reden würden gleichmässiger und kunstgerechter ausgefallen seyn.

Ἐπαγωγῆς δὲ ἕνεκα ταῦτα ἔλεγε πρὸς τὸ περὶ πλείονος ποιεῖσθαι τοὺς γονεῖς ἑαυτῶν· Οἷς ἔφη τηλικαύτην ὀφείλειν αὐτοὺς χάριν, ἡλίκην ἂν ὁ τετελευτηκὼς ἀποδοίη τῷ δυνηθέντι πάλιν αὐτὸν εἰς τὸ φῶς ἀγαγεῖν· Ἔπειτα δίκαιον μὲν εἶναι τοὺς πρώτους καὶ τοὺς τὰ μέγιστα εὐεργετηκότας ὑπὲρ ἅπαντας ἀγαπᾶν καὶ μηδέποτε λυπεῖν· μόνους δὲ τοὺς γονεῖς προτέρους τῆς γενέσεως ταῖς εὐεργεσίαις· καὶ πάντων κατορθουμένων ὑπὸ τῶν ἐγγόνων αἰτίους εἶναι τοὺς προγόνους· ἐν τούτοις οὐδενὸς ἔλαττον ἑαυτοὺς εὐεργετεῖν ἀποδεικνύντες, εἰς οὓς οὐχ οἷόν τε ἐστὶν ἐξαμαρτάνειν. Καὶ γὰρ καὶ τοὺς θεοὺς εἰκός ἐστι συγγνώμην ἂν ἔχειν τοῖς μηδενὸς ἧττον τιμῶσι τοὺς πατέρας· καὶ γὰρ τὸ θεῖον παρ᾽ αὐτῶν μεμαθήκαμεν τιμᾶν. Ὅθεν καὶ τὸν Ὅμηρον τῇ αὐτῇ προσηγορίᾳ τὸν βασιλέα τῶν θεῶν αὔξειν, ὀνομάζοντα πατέρα τῶν θεῶν καὶ τῶν θνητῶν. Πολλοὺς δὲ καὶ τῶν ἄλλων μυθοποιῶν παραδεδωκέναι τοὺς βασιλεύοντας τῶν θεῶν τὴν μεριζομένην φιλοστοργίαν παρὰ τῶν τέκνων πρὸς τὴν ὑπάρχουσαν συζυγίαν τῶν γονέων καθ᾽ ἑαυτοὺς ποιήσασθαι πεφιλοτετιμημένους. καὶ διὰ ταύτην τὴν αἰτίαν ἅμα τὴν τοῦ πατρὸς καὶ τῆς μητρὸς ὑπόθεσιν λαβόντας, τὸν μὲν τὴν Ἀθηνᾶν, τὴν δὲ τὸν Ἥφαιστον γεννῆσαι ἐναντίαν φύσιν ἔχοντας τῇ ἰδίᾳ, ἕνεκα τοῦ καὶ τῆς πλεῖον ἀφεστώσης φιλίας μετασχεῖν. Ἁπάντων δὲ τῶν

παρόντων τὴν τῶν ἀθανάτων κρίσιν ἰσχυροτάτην εἶναι συγχωρησάντων, ἀποδεῖξειν τοῖς Κροτωνιάταις, διὰ τὸ τὸν Ἡρακλέα τοῖς κατῳκισμένοις οἰκεῖον ὑπάρχειν, διότι δεῖν τὸ προσταττόμενον ἑκουσίως τοῖς γονεῦσιν ὑπακούειν, παρειληφότας αὐτὸν τὸν θεὸν ἑτέρῳ πρεσβυτέρῳ πειθόμενον διαθλῆσαι τοὺς πόνους, καὶ τῷ πατρὶ θεῖναι τῶν κατειργασμένων ἐπινίκιον τὸν ἀγῶνα τὸν Ὀλύμπιον.

Ἀπεφαίνετο δὲ καὶ ταῖς πρὸς ἀλλήλους ὁμιλίαις οὕτως ἂν χρωμένους ἐπιτυγχάνειν, ὡς μέλλουσι τοῖς μὲν φίλοις μηδέποτε ἐχθροὶ καταστῆναι, τοῖς δὲ ἐχθροῖς ὡς τάχιστα φίλοι γίνεσθαι. Καὶ μελετᾶν ἐν μὲν τῇ πρὸς πρεσβυτέρους εὐκοσμίᾳ τὴν πρὸς τοὺς πατέρας εὔνοιαν, ἐν δὲ τῇ πρὸς ἄλλους φιλανθρωπίᾳ τὴν πρὸς τοὺς ἀδελφοὺς κοινωνίαν. Ἐφεξῆς δὲ ἔλεγε περὶ σωφροσύνης, φάσκων, τὴν τῶν νεανίσκων ἡλικίαν πεῖραν τῆς φύσεως λαμβάνειν, καθ' ὃν καιρὸν ἀκμαζούσας ἔχουσι τὰς ἐπιθυμίας. εἶτα προετρέπετο θεωρεῖν ἄξιον, ὅτι μόνης τῶν ἀρετῶν ταύτης καὶ παιδὶ καὶ παρθένῳ καὶ γυναικὶ καὶ τῇ τῶν πρεσβυτέρων τάξει ἀντιποιεῖσθαι προσήκει, καὶ μάλιστα τοὺς νεωτέρους. Ἔτι δὲ μόνην αὐτὴν ἀπέφαινε περιειληφέναι καὶ τὰ τοῦ σώματος ἀγαθὰ καὶ τὰ τῆς ψυχῆς, διατηροῦσαν τὴν ὑγιείαν καὶ τὴν τῶν βελτίστων ἐπιτηδευμάτων ἐπιθυμίαν. Φανερὸν δὲ εἶναι καὶ διὰ τῆς ἀντικειμένης ἀντιθέσεως· τῶν γὰρ βαρβάρων καὶ τῶν Ἑλλήνων περὶ τὴν Τροίαν ἀντιταξαμένων, ἑκατέρους δι' ἑνὸς ἀκρασίαν ταῖς δεινοτάταις περιπεσεῖν συμφοραῖς, τοὺς μὲν ἐν τῷ πολέμῳ, τοὺς δὲ κατὰ τὸν ἀνάπλουν. καὶ μόνης τῆς ἀδικίας τὸν θεὸν δεκετῆ καὶ χιλιετῆ τάξαι τὴν τιμωρίαν, χρησμῳδήσαντα τήν τε τῆς Τροίας ἅλωσιν καὶ τὴν τῶν παρθένων ἀποστολὴν παρὰ τῶν Λοκρῶν εἰς τὸ τῆς Ἀθηνᾶς τῆς Ἰλιάδος ἱερόν. (v. Suid. ed. Kust. v. *Ποινή*.)

Παρεκάλει δὲ τοὺς νεανίσκους καὶ πρὸς τὴν παιδείαν, ἐνθυμεῖσθαι κελεύων ὡς ἄτοπον ἂν εἴη πάντων μὲν σπουδαιότατον κρίνειν τὴν διάνοιαν, καὶ ταύτῃ βουλεύεσθαι περὶ τῶν ἄλλων, εἰς δὲ τὴν ἄσκησιν τὴν ταύτης μηδένα χρόνον μηδὲ πόνον ἀνηλωκέναι. Καὶ ταῦτα τῆς μὲν τῶν σωμάτων ἐπιμελείας τοῖς φαύλοις τῶν φίλων ὁμοιουμένης καὶ ταχέως ἀπολειπούσης, τῆς δὲ παιδείας, καθάπερ οἱ καλοὶ καὶ ἀγαθοὶ τῶν ἀνδρῶν, μέχρι θανάτου παραμενούσης, ἐνίοις δὲ καὶ μετὰ τὴν τελευτὴν ἀθάνατον δόξαν περιποιούσης. Καὶ τοιαῦθ' ἕτερα, τὰ μὲν ἐξ ἱστοριῶν (d. h. an mathematischen Lehrsätzen, denn: Jambl. c. 18, s. 89: ἐκαλεῖτο δὲ ἡ γεωμετρία πρὸς Πυθαγόρου ἱστορία [Forschung]), τὰ δὲ καὶ ἀπὸ δογμάτων κατεσκεύασε, τὴν παιδείαν ἐπιδεικνύων κοινὴν οὖσαν

εὑρείαν τῶν ἐν ἑκάστῳ τῷ γένει πεπρωτευκότων· τὰ γὰρ ἐκείνων εὑρήματα, ταῦτα τοῖς ἄλλοις γεγονέναι παιδείαν. Οὕτω δ'ἐστὶ τῇ φύσει σπουδαῖον τοῦτο, ὥστε τῶν μὲν ἄλλων τῶν ἐπαινουμένων τὰ μὲν οὐχ οἷόν τε εἶναι παρ' ἑτέρου μεταλαβεῖν, οἷον τὴν ῥώμην, τὸ κάλλος, τὴν ὑγείαν, τὴν ἀνδρείαν· τὰ δὲ τὸν προέμενον οὐκ ἔχειν αὐτόν, οἷον τὸν πλοῦτον, τὰς ἀρχάς, καὶ ἕτερα πολλὰ τῶν παραλειπομένων· τὴν δὲ δυνατὸν εἶναι καὶ παρ' ἑτέρου παραλαβεῖν, καὶ τὸν δόντα μηδὲν ἧττον αὐτὸν ἔχειν. Παραπλησίως δὲ τὰ μὲν οὐκ ἐπὶ τοῖς ἀνθρώποις εἶναι κτήσασθαι, παιδευθῆναι δὲ ἐνδέχεσθαι κατὰ τὴν ἰδίαν προαίρεσιν. Εἶθ' οὕτως προσιόντα φανῆναι πρὸς τὰς τῆς πατρίδος πράξεις, οὐκ ἐξ ἀναιδείας, ἀλλ' ἐκ παιδείας. Σχεδὸν γὰρ ταῖς ἀγωγαῖς διαφέρειν τοὺς μὲν ἀνθρώπους τῶν θηρίων, τοὺς δὲ Ἕλληνας τῶν βαρβάρων, τοὺς δὲ ἐλευθέρους τῶν οἰκετῶν, τοὺς δὲ φιλοσόφους τῶν τυχόντων. Ὅλως δὲ τηλικαύτην ἔχοντας ὑπεροχήν, ὥστε τοὺς μὲν θᾶττον τρέχοντας τῶν ἄλλων ἐκ μιᾶς πόλεως τῆς ἐκείνων ἑπτὰ κατὰ τὴν Ὀλυμπίαν εὑρεθῆναι, τοὺς δὲ τῇ σοφίᾳ προέχοντας ἐξ ἁπάσης τῆς οἰκουμένης ἑπτὰ συναριθμηθῆναι. ἐν δὲ τοῖς ἑξῆς χρόνοις, ἐν οἷς ἦν αὐτός, ἕνα φιλοσοφίᾳ προέχειν τῶν πάντων. Καὶ γὰρ τοῦτο τὸ ὄνομα ἀντὶ τοῦ Σοφοι ἑαυτὸν ἐπωνόμασε. Ταῦτα μὲν ἐν τῷ γυμνασίῳ τοῖς νέοις διελέχθη.

616) Jambl. de vit. Pyth. s. 45: *Ἀπαγγελθέντων δ'οὖν ὑπὸ τῶν νεανίσκων πρὸς τοὺς πατέρας τῶν εἰρημένων, ἐκάλεσαν οἱ Χίλιοι τὸν Πυθαγόραν εἰς τὸ συνέδριον καὶ προεπαινέσαντες ἐπὶ τοῖς πρὸς τοὺς υἱοὺς ῥηθεῖσιν, ἐκέλευσαν, εἴ τι συμφέρον ἔχει λέγειν τοῖς Κροτωνιάταις, ἀποφήνασθαι τοῦτο πρὸς τοὺς τῆς πολιτείας προκαθημένους.*

617) Jambl. de vit. Pyth. 132: *Ἀπαλλάξαι δὲ λέγεται τοὺς Κροτωνιάτας καὶ τῶν παλλακίδων, καὶ καθόλου τῆς πρὸς τὰς ἀνεγγύους γυναῖκας ὁμιλίας. πρὸς Δεινωνῶ γὰρ τὴν Βροντίνου γυναικα, τῶν Πυθαγορείων ἑνός, οὖσαν σοφήν τε καὶ περιττὴν τὴν ψυχήν, πρὸς δὴ ταύτην παρελθούσας τὰς τῶν Κροτωνιατῶν γυναῖκας παρακαλέσαι περὶ τοῦ συμπεῖσαι τὸν Πυθαγόραν διαλεχθῆναι περὶ τῆς πρὸς αὐτὰς σωφροσύνης τοῖς ἀνδράσιν αὐτῶν· ὃ δὴ καὶ συμβῆναι. καὶ τῆς γυναικὸς ἐπαγγειλαμένης, καὶ τοῦ Πυθαγόρου διαλεχθέντος, καὶ τῶν Κροτωνιατῶν πεισθέντων, ἀναιρεθῆναι παντάπασι τὴν τότε ἐπιπολάζουσαν ἀκολασίαν.*

618) Jambl. de vit. Pyth. s. 45: Ὁ δὲ (Πυθαγόρας) πρῶτον μὲν αὐτοῖς συνεβούλευεν ἱδρύσασθαι Μουσῶν ἱερόν, ἵνα τηρῶσι τὴν ὑπάρχουσαν ὁμόνοιαν. ταύτας γὰρ τὰς θεὰς καὶ τὴν προσηγορίαν τὴν αὐτὴν ἁπάσας ἔχειν καὶ μετ' ἀλλήλων παραδίδοσθαι, καὶ ταῖς κοιναῖς τιμαῖς μάλιστα χαίρειν, καὶ τὸ σύνολον ἕνα καὶ τὸν αὐτὸν ἀεὶ χορὸν εἶναι τῶν Μουσῶν. ἔτι δὲ συμφωνίαν, ἁρμονίαν, ῥυθμὸν, καὶ ἅπαντα περιειληφέναι τὰ παρασκευάζοντα τὴν ὁμόνοιαν. ἐπιδείκνυσι δέ, αὐτῶν τὴν δύναμιν οὐ περὶ τὰ κάλλιστα θεωρήματα μόνον ἀνήκειν, ἀλλὰ καὶ περὶ τὴν συμφωνίαν καὶ ἁρμονίαν τῶν ὄντων. Ἔπειτα ὑπολαμβάνειν αὐτοὺς ἔφη δεῖν, κοινὴν παρακαταθήκην ἔχειν τὴν πατρίδα παρὰ τοῦ πλήθους τῶν πολιτῶν. δεῖν οὖν ταύτην διοικεῖν οὕτως, ὡς μέλλουσι τὴν πίστιν παραδόσιμον τοῖς ἐξ αὐτῶν ποιεῖν. ἔσεσθαι δὲ τοῦτο βεβαίως, ἐὰν ἅπασι ἴσοι τοῖς πολίταις ὦσι, καὶ μηδενὶ μᾶλλον ἢ τῷ δικαίῳ προέχωσι. τοὺς γὰρ ἀνθρώπους, εἰδότας, ὅτι τόπος ἅπας προσδεῖται δικαιοσύνης μυθοποιεῖν τὴν αὐτὴν τάξιν ἔχειν παρὰ τῷ Διῒ τὴν Θέμιν, καὶ παρὰ τῷ Πλούτωνι τὴν Δίκην, καὶ κατὰ τὰς πόλεις τὸν νόμον, ἵνα ὁ μὴ δικαίως ἐφ' ἃ τέτακται ποιῶν ἅμα φαίνηται πάντα τὸν κόσμον συναδικῶν. Προσήκειν δὲ τοῖς συνεδρίοις, μηδενὶ καταχρήσασθαι τῶν θεῶν εἰς ὅρκον, ἀλλὰ τοιούτους προχειρίζεσθαι λόγους, ὥστε καὶ χωρὶς ὅρκων εἶναι πιστούς.

Καὶ (προσήκειν) τὴν ἰδίαν οἰκίαν οὕτως οἰκονομεῖν, ὥστε τὴν ἀναφορὰν ἐξεῖναι τῆς προαιρέσεως εἰς ἐκείνην ἀνενεγκεῖν. πρός τε τοὺς ἐξ αὐτῶν γενομένους διακεῖσθαι γνησίως, ὡς καὶ τῶν ἄλλων ζώων μόνους ταύτης τῆς ἐννοίας αἴσθησιν εἰληφότας. καὶ πρὸς τὴν γυναῖκα τὴν τοῦ βίου μετέχουσαν ὁμιλοῦντας, ὡς τῶν μὲν πρὸς τοὺς ἄλλους συνθηκῶν τιθεμένων ἐν γραμματιδίοις καὶ στήλαις, τῶν δὲ πρὸς τὰς γυναῖκας ἐν τοῖς τέκνοις. καὶ πειρᾶσθαι παρὰ τοῖς ἐξ αὐτῶν ἀγαπᾶσθαι μὴ διὰ τὴν φύσιν, ἧς οὐκ αἴτιοι γεγόνασιν, ἀλλὰ διὰ τὴν προαίρεσιν· ταύτην γὰρ εἶναι τὴν εὐεργεσίαν ἑκουσίαν. Σπουδάζειν δὲ καὶ τοῦτο, ὅπως αὐτοί τε μόνας ἐκείνας εἰδήσωσιν, αἵ τε γυναῖκες μὴ νοθεύσωσι τὸ γένος ὀλιγωρίᾳ καὶ κακίᾳ τῶν συνοικούντων. Ἔτι δὲ τὴν γυναῖκα νομίζειν ἀπὸ τῆς ἑστίας εἰληφότας μετὰ σπονδῶν καθάπερ ἱκέτιν ἐναντίον τῶν θεῶν εἰσῆχθαι πρὸς αὐτήν. Καὶ τῇ τάξει καὶ τῇ σωφροσύνῃ παράδειγμα γενέσθαι τοῖς τε κατὰ τὴν οἰκίαν, ἣν οἰκεῖ, καὶ τοῖς κατὰ τὴν πόλιν. καὶ προνοεῖν τοῦ μηδένα μήδ' ὁτιοῦν ἐξαμαρτάνειν, ὅπως μὴ, φοβούμενοι τὴν ἐκ τῶν νόμων ζημίαν, ἀδικοῦντες λανθάνωσιν, ἀλλ' αἰσχυνόμενοι τὴν τοῦ τρόπου καλοκαγαθίαν εἰς τὴν δικαιοσύνην

ὁρμῶσι. Διεκελεύετο δὲ κατὰ τὰς πράξεις ἀποδοκιμάζειν τὴν ἀργίαν, εἶναι γὰρ οὐχ ἕτερόν τι ἀγαθὸν ἢ τὸν ἐν ἑκάστῃ πράξει καιρόν. Ὡρίζετο δέ, μέγιστον εἶναι τῶν ἀδικημάτων, παῖδας καὶ γονεῖς ἀπ' ἀλλήλων διασπᾷν. Νομίζειν δέ, κράτιστον μὲν εἶναι τὸν καθ' αὑτὸν δυνάμενον προϊδεῖν τὸ συμφέρον· δεύτερον δέ, τὸν ἐκ τῶν τοῖς ἄλλοις συμβεβηκότων κατανοοῦντα τὸ λυσιτελοῦν· χείριστον δέ, τὸν ἀναμένοντα διὰ τοῦ κακῶς παθεῖν αἰσθέσθαι τὸ βέλτιστον. Ἔφη δὲ, καὶ τοὺς φιλοτιμεῖσθαι βουλομένους οὐκ ἂν διαμαρτάνειν, μιμουμένους τοὺς ἐν τοῖς δρόμοις στεφανουμένους· καὶ γὰρ ἐκείνους οὐ τοὺς ἀνταγωνιστὰς κακῶς ποιεῖν, ἀλλ' αὐτοὺς τῆς νίκης ἐπιθυμεῖν τυχεῖν. καὶ τοῖς πολιτευομένοις ἁρμόττειν, οὐ τοῖς ἀντιλέγουσι δυςαρεστεῖν, ἀλλὰ τοὺς ἀκούοντας ὠφελεῖν. Παρεκάλει δὲ τῆς ἀληθινῆς ἀντεχόμενον εὐδοξίας ἕκαστον, εἶναι τοιοῦτον, οἷος ἂν βούλοιτο φαίνεσθαι τοῖς ἄλλοις. οὐ γὰρ οὕτως ὑπάρχειν τὴν συμβουλὴν ἱερόν, ὡς τὸν ἔπαινον, ἐπειδὴ τῆς μὲν ἡ χρεία πρὸς μόνους ἐστὶν τοὺς ἀνθρώπους, τοῦ δὲ πολὺ μᾶλλον πρὸς τοὺς θεούς. Εἶθ' οὕτως ἐπὶ πᾶσιν εἶπεν, ὅτι τὴν πόλιν αὐτῶν οἰκίζεσθαι συμβέβηκεν ὑφ' Ἡρακλέους (so muss emendirt werden), *ὅτε τὰς βοῦς διὰ τῆς Ἰταλίας ἤλαυνεν, ὑπὸ Λακίνου μὲν ἀδικηθέντος, Κρότωνα δὲ βοηθοῦντα τῆς νυκτὸς παρὰ τὴν ἄγνοιαν, ὡς ὄντα τῶν πολεμίων διαφθείραντος, καὶ μετὰ ταῦτα ἐπαγγειλαμένου περὶ τὸ μνῆμα συνώνυμον ἐκείνῳ κατοικίζεσθαι* (nicht *κατοικίσεσθαι*) *πόλιν, ἵναπερ* (so muss emendirt werden statt des jetzt im Text befindlichen *ἄνπερ*) *αὐτὸς* (sc. *Κρότων* und nicht *Ἡρακλῆς*) *μετάσχῃ τῆς ἀθανασίας.* (Herakles habe sich zur Sühnung seines unfreiwilligen Todtschlages erboten, eine dem Kroton gleichnamige Stadt zu bauen, damit Er, Kroton, auch Theil nehme an der Unsterblichkeit; nicht: er verkündete, dass dem Kroton eine gleichnamige Stadt werde gebaut werden, — *κατοικίσεσθαι*, fut. med. in ungerechtfertigter passiver Bedeutung aufgefasst, — wenn Er, Herakles, Theil habe an der Unsterblichkeit, was, wie man den Satz auch drehen mag, einen grammatischen und sachlichen, dem Context: *οἰκίζεσθαι συμβέβηκεν ὑφ' Ἡρακλέους*, und dem ganzen Gedankenzusammenhang widerstrebenden Unsinn gibt; wie leicht *ἵνα* in *ἵναπερ* als fehlerhafte Wiederholung der unmittelbar vorhergehenden Endsilbe des Wortes *πόλιν* betrachtet und zu *ἄνπερ* verballhornt werden konnte, begreift sich ohnedies.) *ὥστε τὴν χάριν ἀποδόντες τῆς* (statt *τῆς ἀποδόσεως*) *εὐεργεσίας προςήκειν αὐτούς, ἔφη, δικαίως οἰκονομεῖν* (so scheint emendirt werden zu mussen, obgleich die gewöhnliche Lesart zur Noth auch einen Sinn gibt).

619) Jambl. l. l. s. 50: *Οἱ δὲ ἀκούσαντες τό τε Μουσεῖον ἱδρύσαντο, καὶ τὰς παλλακίδας, ἃς ἔχειν ἐπιχώριον ἦν αὐτοῖς, ἀφῆκαν. Καὶ διαλεχθῆναι χωρὶς αὐτὸν ἐν μὲν τῷ Πυθαίῳ πρὸς τοὺς παῖδας, ἐν δὲ τῷ τῆς Ἥρας ἱερῷ πρὸς τὰς γυναῖκας ἠξίωσαν.*

620) Jambl. de vit. Pyth. s. 53: *Διὰ δὲ τὰς παραινέσεις ὁμολογεῖται παρασκευάσαι, μηδένα τὴν ἐκείνου προσηγορίαν ὀνομάζειν, ἀλλὰ πάντας θεῖον αὐτὸν καλεῖν.*

621) Jambl. de vit. Pyth. s. 51: *Τὸν δὲ πεισθέντα λέγουσιν ἡγήσασθαι τοῖς παισὶ τοιάδε· Ὥστε μήτε ἄρχειν λοιδορίας, μηδὲ ἀμύνεσθαι τοὺς λοιδορουμένους. Καὶ περὶ τὴν παιδείαν τὴν ἐπώνυμον τῆς ἐκείνων ἡλικίας κελεῦσαι σπουδάζειν, καὶ μελετᾶν ἀκούειν, ἵνα δύνωνται λέγειν* (Aus s. 53, wo es ausser Zusammenhang steht, hierher versetzt, wohin es passt). *Ἔτι δὲ ὑποθέσθαι τῷ μὲν ἐπιεικεῖ παιδὶ ῥάδιον πεφυκέναι πάντα τὸν βίον τηρεῖν τὴν καλοκαγαθίαν· τῷ δὲ μὴ εὖ πεφυκότι κατὰ τοῦτον τὸν καιρὸν χαλεπὸν καθεστάναι. μᾶλλον δὲ ἀδύνατον ἐκ φαύλης ἀφορμῆς ἐπὶ τὸ τέλος εὖ δραμεῖν. Πρὸς δὲ τούτοις θεοφιλεστάτους αὐτοὺς ὄντας ἀποφῆναι· καὶ διὰ τοῦτο φῆσαι κατὰ τοὺς αὐχμοὺς ὑπὸ τῶν πόλεων ἀποστέλλεσθαι παρὰ τῶν θεῶν ὕδωρ αἰτησομένους, ὡς μάλιστα ἐκείνοις ὑπακούσαντος τοῦ δαιμονίου. καὶ μόνοις διὰ τέλους ἁγνεύουσιν ἐξουσίας ὑπαρχούσης ἐν τοῖς ἱεροῖς διατρίβειν. Διὰ ταύτην δὲ τὴν αἰτίαν καὶ τοὺς φιλανθρωποτάτους τῶν θεῶν, τὸν Ἀπόλλω καὶ τὸν Ἔρωτα πάντας ζωγραφεῖν καὶ ποιεῖν τὴν τῶν παίδων ἔχοντας ἡλικίαν. Συγκεχωρῆσθαι δὲ καὶ τῶν στεφανιτῶν ἀγώνων τινὰς τεθῆναι διὰ παῖδας· τὸν μὲν Πυθικόν, κρατηθέντος τοῦ Πύθωνος ὑπὸ παιδός· ἐπὶ παιδὶ δὲ τὸν ἐν Νεμέᾳ, καὶ τὸν ἐν Ἰσθμῷ, τελευτήσαντος Ἀρχεμόρου καὶ Μελικέρτου. Χωρὶς δὲ τῶν εἰρημένων ἐν τῷ κατοικισθῆναι τὴν πόλιν τῶν Κροτωνιατῶν ἐπαγγείλασθαι τὸν Ἀπόλλω τῷ ἡγεμόνι τοῦ οἰκισμοῦ δώσειν γενεάν, ἐὰν ἀγάγῃ τὴν εἰς Ἰταλίαν ἀποικίαν. ἐξ ὧν δεῖν, ὑπολαβόντας τὴν μὲν γενέσεως αὐτῶν πρόνοιαν πεποιῆσθαι τὸν Ἀπόλλω, τῆς δὲ ἡλικίας ἅπαντας τοὺς θεους, ἀξίους εἶναι τῆς ἐκείνων φιλίας. Ἔτι δέ, ἣν μέλλουσιν εἰς τὸ γῆρας βαδίζειν, ταύτην εὐθὺς ἐξορμῶντας τοῖς ἐληλυθόσιν ἐπακολουθεῖν καὶ τοῖς πρεσβυτέροις μηδὲν ἀντιλέγειν. οὕτω γὰρ εἰκότως ὕστερον ἀξιώσειν, μηδὲ αὐτοὺς τοὺς νεωτέρους ἀνταδικεῖν.*

622) Jambl. de vit. Pyth. s. 54: *Ταῖς δὲ γυναιξὶν ὑπὲρ μὲν τῶν θυσιῶν ἀποφήνασθαι λέγεται· Πρῶτον μὲν* (s. 56), *τὸν σοφώτατον τῶν ἁπάντων λεγόμενον καὶ συντάξαντα τὴν φωνὴν τῶν*

ἀνθρώπων καὶ τὸ σύνολον εὑρετὴν καταστάντα τῶν ὀνομάτων, εἴτε θεὸν, εἴτε δαίμονα, εἴτε θεῖόν τινα ἄνθρωπον, συνιδόντα, ὅτι τῆς εὐσεβείας οἰκειότατόν ἐστι τὸ γένος τῶν γυναικῶν, ἑκάστην τὴν ἡλικίαν αὐτῶν συνώνυμον ποιήσασθαι θεῷ, καὶ καλέσαι τὴν μὲν ἄγαμον, Κόρην, τὴν δὲ πρὸς ἄνδρα δεδομένην, Νύμφην, τὴν δὲ τέκνα γεννησαμένην, Μητέρα, τὴν δὲ παῖδα ἐκ παίδων ἐπιδοῦσαν κατὰ τὴν Δωρικὴν διάλεκτον, Μαῖαν. ᾧ σύμφωνον εἶναι τὸ καὶ τοὺς χρησμοὺς ἐν Δωδώνῃ καὶ Δελφοῖς δηλοῦσθαι διὰ γυναικός. (Εἶτα δε,) s. 54, καθάπερ, ἑτέρου μέλλοντος ὑπὲρ αὐτῶν ποιεῖσθαι τὰς εὐχάς, βούλοιντ᾽ ἂν ἐκεῖνον εἶναι καλὸν κἀγαθόν, ὡς τῶν θεῶν τούτοις προσεχόντων· οὕτως αὐτὰς περὶ πλείστου ποιεῖσθαι τὴν ἐπιείκειαν, ἵν᾽ ἑτοίμως ἔχωσιν αὐτοὺς ταῖς εὐχαῖς ὑπακουσομένους. Ἔπειτα, τοῖς θεοῖς προσφέρειν ἃ μέλλουσι, ταῖς χερσὶν αὐτὰς ποιεῖν καὶ χωρὶς οἰκετῶν πρὸς τοὺς βωμοὺς προσενεγκεῖν, οἷον πόπανα καὶ ψαιστὰ καὶ κηρία καὶ λιβανωτόν. φόνῳ δὲ καὶ θανάτῳ τὸ δαιμόνιον μὴ τιμᾶν. μήδ᾽ ὡς οὐδέποτε πάλιν προσιούσας ἐπὶ καιρῷ πολλὰ δαπανᾶν. (s. 56 in fin.) Διαθέων δὲ τὰ (so muss emendirt werden statt des sinnlosen διὰ δὲ τῶν) εἰς τὴν εὐσέβειαν, ἐπαινεῖ („er fordert auf", statt des sinnlosen ἐπαίνων) πρὸς τὴν εὐτέλειαν τὴν κατὰ τὸν ἱματισμόν. („Durchgehend das, was zur Frömmigkeit gehört, ermahnt er zur Einfachheit in der Kleidung", statt des bisherigen: „Durch die Lobsprüche auf die Frömmigkeit zur Einfachheit in der Kleidung etc.", was, wie man sieht, einfach Nonsens ist.)

(Sect. 55. med.) Παραγγεῖλαι δὲ καὶ κατὰ πάντα τὸν βίον αὐτάς τε εὐφημεῖν, καὶ τοὺς ἄλλους ὁρᾶν, ὁπόσα ὑπὲρ αὐτῶν εὐφημήσουσι. Καὶ τὴν δόξαν τὴν διαδεδομένην μὴ καταλύσωσι, μηδὲ τοὺς μυθογράφους ἐξελέγξωσιν, οἳ, θεωροῦντες τὴν τῶν γυναικῶν δικαιοσύνην ἐκ τοῦ προσίεσθαι μὲν ἀμάρτυρον τὸν ἱματισμὸν καὶ τὸν κόσμον, ὅταν τινὶ ἄλλῳ δέῃ χρῆσαι, μὴ γίνεσθαι δὲ ἐκ τῆς πίστεως δίκας, μήδ᾽ ἀντιλογίας, ἐμυθοποίησαν τρεῖς γυναῖκας ἐπὶ κοινῷ πάσας ὀφθαλμῷ χρωμένας διὰ τὴν εὐχερῆ κοινωνίαν· ὅπερ ἐπὶ τοὺς ἄῤῥενας μετατεθέν, ὡς ὁ προλαβὼν ἀπέδωκεν εὐκόλως, καὶ ἑτοίμως τῶν ἑαυτοῦ μεταδιδούς, οὐδένα ἂν προσδέξασθαι λεγόμενον, ὡς μὴ οἰκεῖον αὐτῶν τῇ φύσει.

(S. 54. med.) Περὶ δὲ τῆς πρὸς τοὺς ἄνδρας ὁμιλίας κελεῦσαι κατανοεῖν, ὅτι συμβαίνει καὶ τοὺς πατέρας ἐπὶ τῆς θηλείας φύσεως παρακεχωρηκέναι μᾶλλον ἀγαπᾶσθαι τοὺς γεγαμηκότας ἢ τοὺς τεκνώσαντας αὐτούς. διὸ καλῶς ἔχειν, ἢ μηδὲν ἐναντιοῦσθαι

πρὸς τοὺς ἄνδρας ἢ τότε νομίζειν νικᾶν, ὅταν ἐκείνων ἡττηθῶσιν. Ἔτι δὲ τὸ περιβόητον γενόμενον ἀποφθέγξασθαι κατὰ τὴν σύνοδον, ὡς ἀπὸ μὲν τοῦ συνοικοῦντος ἀνδρὸς ὅσιόν ἐστιν αὐθημερὸν προσιέναι τοῖς ἱεροῖς, ἀπὸ δὲ τοῦ μὴ προσήκοντος, οὐδέποτε. (Sect. 57.) *Λέγεται δὲ καὶ τοιοῦτόν τι διελθεῖν, ὅτι περὶ τὴν χώραν τῶν Κροτωνιατῶν ἀνδρὸς μὲν ἀρετὴ πρὸς γυναῖκα διαβεβόηται, Ὀδυσσέως οὐ δεξαμένου παρὰ τῆς Καλυψοῦς ἀθανασίαν ἐπὶ τῷ τὴν Πενελόπην καταλιπεῖν. ὑπολείποιτο δὲ ταῖς γυναιξὶν, εἰς τοὺς ἄνδρας ἀποδείξασθαι τὴν καλοκἀγαθίαν, ὅπως εἰς ἴσον καταστήσωσι τὴν εὐλογίαν.* (Sect. 56 in fin.) *Καὶ τηλικαύτην παραδέδοται κατασκευάσαι τὴν μεταβολὴν, ὥστε τὰ πολυτελῆ τῶν ἱματίων μηδεμίαν ἐνδύεσθαι τολμᾷν, ἀλλὰ θεῖναι πάσας εἰς τὸ τῆς Ἥρας ἱερὸν πολλὰς μυριάδας ἱματίων. Ἁπλῶς δὲ μνημονεύεται διὰ τὰς εἰρημένας ἐντεύξεις περὶ Πυθαγόραν οὐ μετρίαν τιμὴν καὶ σπουδὴν καὶ κατὰ τὴν πόλιν τῶν Κροτωνιατῶν γενέσθαι, καὶ διὰ τὴν πόλιν περὶ τὴν Ἰταλίαν.*

623) Porphyr. de vit. Pyth. s. 19: *Γενομένων δὲ τούτων μεγάλη περὶ αὐτὸν ηὐξήθη δόξα, καὶ πολλοὺς μὲν ἔλαβεν ἐξ αὐτῆς τῆς πόλεως ὁμιλητὰς, οὐ μόνον ἄνδρας ἀλλὰ καὶ γυναῖκας· ὧν μιᾶς γε Θεανοῦς καὶ διεβοήθη τοὔνομα· πολλοὺς δ' ἀπὸ τῆς σύνεγγυς βαρβάρου χώρας βασιλεῖς τε καὶ δυνάστας.*

624) In seiner gewöhnlichen übertreibenden Weise Nicomachus bei Jamblich de V. P. s. 29: *Καὶ ἐν πρώτῃ Κρότωνι ἐπισημοτάτῃ πόλει προτρεψάμενος πολλοὺς ἔσχε ζηλωτάς· ὥστε ἱστορεῖται ἑξακοσίους αὐτὸν ἀνθρώπους ἐσχηκέναι, οὐ μόνον ὑπ' αὐτοῦ κεκινημένους εἰς τὴν φιλοσοφίαν ἧς μετεδίδου, ἀλλὰ καὶ τὸ λεγόμενον κοινοβίους, καθὼς προςέταξε, γενομένους·* (s. 30) *καὶ οὗτοι μὲν ἦσαν οἱ φιλοσοφοῦντες· οἱ δὲ πολλοὶ ἀκροαταὶ, οὓς ἀκουσματικοὺς καλοῦσιν, ἐν μιᾷ μόνον ἀκροάσει, ὥς φασιν, ἣν πρωτίστην καὶ πάνδημον μόνον ἐπιβὰς τῆς Ἰταλίας ὁ ἄνθρωπος ἐποιήσατο, πλείονες ἢ δισχίλιοι τοῖς λόγοις ἐνεσχέθησαν.* Dass diese kopflos übertreibende Darstellung von Nicomachus herrührt, beweist die Parallelstelle bei Porphyr. de Vit. Pyth. s. 20. Den einfachen ungeschminkten Bericht hat Diogen. Laert. VIII, s. 15: *Τῶν τε ἑξακοσίων οὐκ ἐλάττους ἐπὶ τὴν νυκτερινὴν ἀκρόασιν ἀπήντων αὐτοῦ.*

625) Porphyr. in der oben angeführten Stelle s. 19. Dass aber auch Deinono, ihre Mutter, eine Schülerin, d. h. eine Zuhörerin des Pythagoras war, sagt Diogen. Laert. VIII, s. 42: *Ἦν δὲ τῷ Πυθαγόρᾳ καὶ γυνὴ, Θεανὼ ὄνομα· Οἱ δὲ γύναῖκα μὲν εἶναι Βροντ-*

τίνου, μαθήτριαν δὲ Πυθαγόρου. Nach Jamblich. V. P. s. 132 hiess aber des Brontinos Gemahlin Deinono: *Δεινωνώ*; man sieht also, dass Diogen. Laert. zwei verschiedene Nachrichten: die eine von der Theano, die andere von der Deinono, untereinander mengt, wobei die Namen Theano und Deinono verwechselt sind, wie öfters.

626) Porphyr. de Vit. Pyth. s. 37: *Διττὸν γὰρ ἦν αὐτοῦ τῆς διδασκαλίας τὸ σχῆμα. καὶ τῶν προσιόντων οἱ μὲν ἐκαλοῦντο μαθηματικοὶ, οἱ δ' ἀκουσματικοί. καὶ μαθηματικοὶ μὲν, οἱ τὸν περιττότερον καὶ πρὸς ἀκρίβειαν διαπεπονημένον τῆς ἐπιστήμης λόγον ἐκμεμαθηκότες· ἀκουσματικοὶ δ', οἱ μόνας τὰς κεφαλαιώδεις ὑποθήκας τῶν γραμμάτων ἄνευ ἀκριβεστέρας διηγήσεως ἀκηκοότες.*

627) Jambl. de Vit. Pyth. s. 76 in dem Briefe des Lysis an Hipparchos: *Τὸν αὐτὸν τρόπον καὶ ὁ δαιμόνιος ἀνὴρ προπαρεσκεύαζε τὰς ψυχὰς τῶν τᾶς φιλοσοφίας ἐρασθέντων, ὅπως μὴ διαψευσθῇ περί τινα τῶν ἐλπισθέντων ἐσεῖσθαι καλῶν τε κἀγαθῶν.*

628) Jambl. de Vit. Pythag. s. 75. Brief des Lysis an Hipparch: *Φαντὶ δέ σε καὶ δαμοσίᾳ φιλοσοφὲν τοῖς ἐντυγχάνουσι, τόπερ ἀπαξίωσε Πυθαγόρας.* Die nämliche Ansicht (ibidem. s. 245): *Παραιτήσασθαι δὲ λέγονται τοὺς τὰ μαθήματα καπηλεύοντας, καὶ τὰς ψυχὰς, ὡς πανδοχεῖον θύρας, ἀνοίγοντας παντὶ τῷ προσιόντι τῶν ἀνθρώπων,* wird daher noch den späteren Pythagoreern beigelegt und ging von diesen auf Plato über.

629) Jambl. de Vit. Pyth. s. 71: *Εἰς τὴν παιδείαν τῶν ὁμιλητῶν προσιόντων τῶν ἑτέρων καὶ βουλομένων συνδιατρίβειν, οὐκ εὐθὺς συνεχώρει, μέχρις ἂν αὐτῶν τὴν δοκιμασίαν καὶ τὴν κρίσιν ποιήσηται.*

630) Jambl. de Vit. Pyth. s. 75: Brief des Lysis an Hipparch: *Διαμεμνᾶσθαι γὰρ ὅσιον, τῶν τήνω* (i. e. Pythagorae) *θείων καὶ σεμνῶν παραγγελμάτων, μηδὲ κοινὰ ποιῆσθαι τὰ σοφίας ἀγαθὰ τοῖς οὐδ' ὄναρ τὰν ψυχὰν κεκαθαρμένοις· οὐ γὰρ θέμις ὀρέγεν τοῖς ἀπαντῶσι τὰ μετὰ τοσούτων ἀγώνων πορισθέντα, οὐδὲ μὰν βεβάλοις τὰ ταῖν Ἐλευσινίαιν θεαῖν μυστήρια διαγεῖσθαι;* hier wird also auch der religiöse Grund angegeben.

631) Aristot. magn. moral. I. 1, p. 2: *Πρῶτος μὲν οὖν ἐνεχείρησε Πυθαγόρας περὶ ἀρετῆς εἰπεῖν.* Jambl. de Vit. Pyth. s. 83: *Ἔστι δὲ αὕτη ἡ αὐτὴ τῇ τῶν ἑπτὰ σοφιστῶν λεγομένῃ*

σοφία . , . . . τῇ τοιαύτῃ γὰρ σοφίᾳ μετηκολουθηκέναι ἔοικε τὰ τοιαῦτα ἀκούσματα, πρότερον γὰρ οὗτοι Πυθαγόρου ἐγένοντο· τὰ δέ, τί πρακτέον, ἢ οὐ πρακτέον, τῶν ἀκουσμάτων τοιούτων ἐστίν.

632) Dicaearch apud Porphyr de Vit. Pyth. s. 19: Μάλιστα μέντοι γνώριμα παρὰ πᾶσιν ἐγένετο· πρῶτον μὲν ὡς ἀθάνατον εἶναι φησὶ τὴν ψυχήν· εἶτα μεταβάλλουσαν εἰς ἄλλα γένη ζώων· πρὸς δὲ τούτοις, ὅτι κατὰ περιόδους τινὰς τὰ γινόμενα ποτὲ πάλιν γίνεται, νέον δ' οὐδὲν ἁπλῶς ἐστί· καὶ ὅτι πάντα τὰ γινόμενα ἔμψυχα ὁμογενῆ δεῖ νομίζειν· φαίνεται γὰρ εἰς τὴν Ἑλλάδα τὰ δόγματα πρῶτος κομίσαι ταῦτα Πυθαγόρας.

633) Porphyr. de Vit. Pyth. s. 19: Καὶ πολλοὺς μὲν ἔλαβεν ἐξ αὐτῆς τῆς πόλεως ὁμιλητὰς . . . . . , πολλοὺς δ' ἀπὸ τῆς σύνεγγυς βαρβάρου χώρας βασιλεῖς τε καὶ δυνάστας. Dies konnten nur Herrscher der Lukaner, Peuketier und Messapier seyn, die Aristoxenus auch unter den späteren Schülern des Pythagoras nennt. Porphyr. s. 22: Προσῆλθον δ' αὐτῷ, ὥς φησιν Ἀριστόξενος, καὶ Λευκανοί, καὶ Μεσσάπιοι καὶ Πευκέτιοι.

634) Jambl. de Vit. Pyth. s. 199: Θαυμάζεται δὲ καὶ ἡ τῆς φυλακῆς ἀκρίβεια· ἐν γὰρ τοσαύταις γενεαῖς ἐτῶν οὐδεὶς οὐδενὶ φαίνεται τῶν Πυθαγορικῶν ὑπομνημάτων περιτετευχώς.

635) Porphyr. de Vit. Pyth. s. 58; Jambl. s. 253 (s. Note 226).

636) Porphyr. de Vit. Pyth. s. 19: Ἃ μὲν οὖν ἔλεγε τοῖς συνοῦσιν, οὐδὲ εἷς ἔχει φράσαι βεβαίως. καὶ γὰρ οὐδ' ἡ τυχοῦσα ἦν παρ' αὐτοῖς σιωπή.

637) Jamblich de Vit. Pyth. s. 81: Κατ' ἄλλον δὲ αὖ τρόπον δύο ἦν εἴδη τῆς φιλοσοφίας· δύο γὰρ ἦν γένη καὶ τῶν μεταχειριζομένων αὐτήν, οἱ μὲν Ἀκουσματικοί, οἱ δὲ Μαθηματικοί, τουτωνὶ δὲ οἱ μὲν Μαθηματικοὶ ὡμολογοῦντο Πυθαγόρειοι εἶναι ὑπὸ τῶν ἑτέρων· τοὺς δὲ Ἀκουσματικοὺς οἱ μὲν (τῶν Μαθηματικῶν) οὐχ ὡμολόγουν, οὔτε τὴν πραγματείαν αὐτῶν εἶναι Πυθαγόρου, ἀλλ' Ἱππάσου. s. 87, οἱ δὲ τῶν περὶ τὰ μαθήματα τῶν Πυθαγορείων τούτους (τοὺς Ἀκουσματικοὺς) ὁμολογοῦσιν μὲν εἶναι Πυθαγόρου, ἀλλὰ καὶ αὐτοί, φασί, ἔτι μᾶλλον· τὴν δὲ αἰτίαν τῆς ἀνομοιότητος τοιαύτην γενέσθαι φασίν, s. 88. Ἀφικέσθαι τὸν Πυθαγόραν ἐξ Ἰωνίας καὶ Σάμου, ἀκμαζούσης τῆς Ἰταλίας, καὶ γενέσθαι συνήθεις αὐτῷ τοὺς πρώτους ἐν ταῖς πόλεσι· τούτων δὲ τοῖς μὲν πρεσβυτέροις καὶ ἀσχόλοις, διὰ τὸ ἐν πολιτικοῖς πράγμασι κατέχεσθαι, ὡς

χαλεπὸν ὂν διὰ τῶν μαθημάτων καὶ ἀποδείξεων ἐντυγχάνειν, ψιλῶς διαλεχθῆναι, ἡγούμενον οὐδὲν ἧττον ὠφελεῖσθαι καὶ ἄνευ τῆς αἰτίας, εἰδότας τί δεῖ πράττειν (also Anweisungen zum Handeln im praktischen Leben, d. h. Pflichten und Sittenlehre)· ὥσπερ καὶ οἱ ἰατρευόμενοι, οὐ προσακούοντες διὰ τί αὐτοῖς ἕκαστον πρακτέον, οὐδὲν ἧττον τυγχάνουσι τῆς ὑγείας. Ὅσοις δὲ νεωτέροις ἐνετύγχανε καὶ δυναμένοις πονεῖν καὶ μανθάνειν, τοῖς τοιούτοις δι' ἀποδείξεως καὶ μαθημάτων ἐνετύγχανεν. Αὐτοὺς μὲν οὖν εἶναι ἀπὸ τούτων· ἐκείνους δὲ ἀπὸ τῶν ἑτέρων. Vgl. Porphyr. v. P. s. 37.

638) Anonym. ap. Phot. cod. 259. ad calc. Porphyr. p. 104: Καὶ οἱ μὲν αὐτῷ τῷ Πυθαγόρᾳ συγγενόμενοι ἐκαλοῦντο Πυθαγορικοί. οἱ δὲ τούτων μαθηταὶ Πυθαγόρειοι· οἱ δὲ ἄλλως ἔξωθεν ζηλωταὶ Πυθαγορισταί. Jambl. de Vit. Pyth. s. 80: Τῷ μέντοι μεταδοῦναι τῶν λόγων ἑκάστοις τὴν προσήκουσαν μοῖραν (dem Lehr-Unterschied zwischen den Mathematikern und Akusmatikern gemäss), τήν τε ὠφέλειαν ἀπένεμεν ἅπασι κατὰ τὸ δυνατόν, ... τοὺς μὲν Πυθαγορείους καλέσας, τοὺς δὲ Πυθαγοριστάς· διελὼν οὕτω πρεπόντως τὰ ὀνόματα τοὺς μὲν γνησίους εἶναι ἐνεστήσατο, τοὺς δὲ ζηλωτὰς τούτων δηλοῦσθαι ἐνομοθέτησε. Τῶν μὲν οὖν Πυθαγορείων κοινὴν εἶναι τὴν οὐσίαν διέταξε, καὶ τὴν συμβίωσιν ἅμα διὰ παντὸς τοῦ χρόνου διατελεῖν· τοὺς δὲ ἑτέρους ἰδίας μὲν κτήσεις ἔχειν ἐκέλευσε, συνιόντας δὲ εἰς ταὐτὸ συσχολάζειν ἀλλήλοις. Καὶ οὕτω τὴν διαδοχὴν ταύτην ἀπὸ Πυθαγόρου κατ' ἀμφοτέρους τοὺς τρόπους συστῆναι. Diese Stellen enthalten beide zugleich Wahres und Irriges, dienen aber einander zu gegenseitiger Berichtigung. Aus der letzten Stelle erhellt zunächst der Unterschied einer engeren eigentlichen Schule und eines weiteren Kreises von Anhängern, und zwar ein Unterschied, der während der ganzen Dauer der Schule fortbesteht; jene heissen die ächten Schüler (γνήσιοι), diese die Anhänger (ζηλωταί), jene haben Gütergemeinschaft, diese besitzen ihr Privatvermögen, und trotzdem, dass sie dieselben Hörräume besuchen, empfangen sie doch einen verschiedenen, ihren verschiedenen Bedürfnissen und Lebensstellungen angepassten Unterricht. Es ist also offenbar der bleibend gewordene Unterschied der Mathematikoi und Akusmatikoi. Auch die erste Stelle gibt in Uebereinstimmung mit der Darstellung des Textes den Unterschied zwischen unmittelbaren und mittelbaren Schülern ganz richtig an, und nennt die ersteren Pythagoriker und die letzteren

Pythagoreer. Aber sie begründet diesen Unterschied unrichtig, indem sie unter den Pythagorikern des Pythagoras persönliche, mit ihm gleichzeitige Schüler versteht, wonach die späteren Mitglieder der engeren Schule von diesem Namen ansgeschlossen wären nnd dagegen auch die ältesten Akusmatiker, wie z. B. Hippasos nnd Epicharmos, Pythagoriker genannt werden müssten; sie werden aber nur Pythagoreer und nie Pythagoriker genannt, und können gerade als Akusmatiker nur Pythagoreer und nicht Pythagoriker genannt werden. Diese Begriffs-Erklärung ist also zu gleicher Zeit zu eng und zu weit. — Ferner heissen zwar die Schüler von Pythagorikern nur Pythagoreer, wie z. B. Parmenides, weil sie nicht Mitglieder der engeren Schule waren, aber sie sind nicht die einzigen Pythagoreer, sondern auch die mit Pythagoras gleichzeitigen und von ihm selbst unterrichteten Akusmatiker, wie Brontinos, Hippasos, Epicharmos etc. heissen alle Pythagoreer. Diese Begriffs-Erklärung ist also auch zu eng. — Endlich erklärt die zweite Stelle den Unterschied zwischen engerer und weiterer Schule zwar sachlich vollkommen richtig, — denn wir werden die den Neueren so anstössige Gütergemeinschaft als eine ganz naturgemässe Einrichtung der engeren Schule kennen lernen, — aber die Namen sind unrichtig. Die selbstständig ausser dem Verbande der Schnle lebenden Anhänger, unter welche alle berühmteren Denker: ein Empedokles, Philolaos, Archytas, Okellos etc. gehören, werden stets Pythagoreer, nie aber Pythagoristen genannt; was nur einen äusserlich an die Lebensweise der Schule sich Anschliessenden, einen Pythagorisirenden bezeichnet, wie in der ersten Stelle ganz richtig erklärt wird. Diese falsche Benennung der weiteren Anhänger hat aber ihren Grund in der Uebertragung des Namens Pythagoreer auf die eigentlichen Pythagoriker, in Folge des späterhin herrschend gewordenen ungenaueren Sprachgebrauchs. Setzt man daher in der zweiten Stelle Pythagoriker statt Pythagoreer, und Pythagoreer statt Pythagoristen, so ist Alles in Richtigkeit.

639) Herodot III, 137.

640) Diogen. Laert. VIII, 7: *Φησὶ δὲ Ἡρακλείδης ὁ τοῦ Σαραπίωνος ἐν τῇ Σωτίωνος ἐπιτομῇ, γεγραφέναι αὐτὸν (τὸν Πυθαγόραν) καὶ περὶ τοῦ ὅλου ἐν ἔπεσι· δεύτερον τὸν ἱερὸν λόγον· τρίτον περὶ ψυχῆς· τέταρτον περὶ εὐσεβείας· πέμπτον Ἡλοθαλῆ, τὸν Ἐπιχάρμου τοῦ Κώου πατέρα· ἕκτον Κρότωνα, καὶ ἄλλους.*

641) Diogen. Laert. VIII. e. 3. s. 78. Jambl. de vit. Pyth. c. 36. s. 266: *Τῶν δ' ἔξωθεν ἀκροατῶν γενέσθαι καὶ Ἐπίχαρμον· ἀλλ' οὐκ ἐκ τοῦ συστήματος τῶν ἀνδρῶν. ἀφικόμενον δὲ εἰς Συρακούσας διὰ τὴν Ἱέρωνος τυραννίδα τοῦ μὲν φανερῶς φιλοσοφεῖν ὑποσχέσθαι, εἰς μέτρον δ' ἐνεῖναι τὰς διανοίας τῶν ἀνδρῶν, μετὰ παιδιᾶς κρύφα ἐκφέροντα τὰ Πυθαγόρου δόγματα.*

642) Diodor. Sicul. XI, 90 und XII, 10. In dieser letzten Stelle wird die Gründung von Thurii auf dem Gebiete des ehemaligen Sybaris in das Arehontat des Kallimachos, d. h. ins Jahr 446 v. Chr. gesetzt; nachdem es fünf Jahre vorher, also 451 v. Chr., schon einmal von den Thessaliern neu aufgebaut und dann von den Krotoniaten wieder zerstört worden war. Diesen Wiederaufbau von Sybaris durch die Thessalier setzt Diodor 58 Jahre nach dessen Zerstörung, die also hiernach ins Jahr 509 v. Chr. G. fällt, die im Texte angenommene Zahl. In der Stelle XI, 90 gibt er, statt der obigen fünf, seehs Jahre an, was ins Jahr 510 führen würde. Beide Angaben können ganz wohl neben einander bestehen, da sieh der Krieg von einem Jahr ins andere hinübergezogen haben kann. Ueberdies steht die Jahreszahl der Gründung Thuriis aueh nieht ganz fest; denn sie schwankt bei den verschiedenen Schriftstellern von 446—443 v. Chr.; da begreiflicher Weise die Gründung nicht in Einem Jahre beendigt war, sondern mit den Vorbereitungen und Zurüstungen einen grösseren Zeitraum einnahm, innerhalb dessen es von der Willkühr des Darstellers abhängen mochte, welches Ereigniss er als besonders markant hervorheben und als den Zeitpunkt der eigentlichen Gründung bezeichnen wollte.

643) Athenaeus XII, s. 21: *Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν τῷ περὶ δικαιοσύνης φησί· Συβαρῖται τὴν Τήλυος τυραννίδα καταλύσαντες τοὺς μετασχόντας τῶν πραγμάτων ἀναιροῦντες καὶ φονεύοντες ἐπὶ τῶν βωμῶν ἀπήντησαν.*

644) Diodor. Sicul. XII, 9.

645) Athen. XII, s. 21, init.: *Πάνυ οὖν ἐξοκείλαντες εἰς ὕβριν, τὸ τελευταῖον, παρὰ Κροτωνιατῶν τριάκοντα πρεσβευτῶν ἡκόντων, ἅπαντας αὐτοὺς ἀπέκτειναν, καὶ πρὸ τοῦ τείχους τὰ σώματα ἐξέῤῥιψαν, καὶ ὑπὸ θηρίων εἴασαν διαφθαρῆναι.*

646) Jamblich. de Vit. Pyth. s. 177 init.

647) Diodor. Sicul. XII, 9 und 10; Jamblich. de vit. Pyth. s. 177, 178.

648) Herodot. V, c. 47.

649) Jamblich. de vit. Pyth. s. 177.

650) Jamblich. l. l. s. 178.

651) Porphyr. de Vit. Pyth. s. 23 sqq. s. 28; Jambl. de Vit. Pyth. s. 134 sq.; Diogen. Laert. VIII, 11. Vgl. Jambl. de Vit. Pyth. s. 8: *Τὸ μέντοι τὴν Πυθαγόρου ψυχὴν ἀπὸ τῆς Ἀπόλλωνος ἡγεμονίας οὖσαν εἴτε συνοπαδὸν εἴτε καὶ ἄλλως οἰκειότερον ἔτι πρὸς τὸν θεὸν τοῦτον συντεταγμένην καταπεπέμφθαι εἰς ἀνθρώπους, οὐδεὶς ἂν ἀμφισβητήσειε τεκμαιρόμενος αὐτῇ τε τῇ γενέσει* (die Pythia sollte seine Geburt dem Vater vorherverkündigt haben) *καὶ τῇ σοφίᾳ τῆς ψυχῆς αὐτοῦ τῇ παντοδαπῇ.* Doch aber ist es selbst einem Jamblich zu arg, dass Apollo direkt sein Vater seyn soll, s. 7: *παραιτητέοι γὰρ Ἐπιμενίδης καὶ Εὔδοξος καὶ Ξενοκράτης, ὑπονοοῦντες, τῇ Παρθενίδι* (der Mutter des Pythagoras) *τότε μιγῆναι τὸν Ἀπόλλω καὶ κυοῦσαν αὐτὴν ἐκ μὴ οὕτως ἐχούσης καταστῆσαί τε καὶ προαγγεῖλαι διὰ τῆς προφήτιδος· τοῦτο μὲν οὖν οὐδαμῶς δεῖ προσίεσθαι.*

652) Athenaeus XII, s. 21.

653) Jamblich. de vit. Pyth. s. 170.

654) Diodor. Sicul. XII, 9. Strabo VI, p. 404.

655) Herodot. VII, 170.

656) Strabo VI, p. 404.

657) Jamblich. de vit. Pyth. s. 260 in fine: *τοὺς τριάκοντα μυριάδων περὶ τὸν Τράεντα ποταμὸν περιγενομένους* etc.

658) Herodot. V, 44.

659) Herodot. V, 44.

660) Athenaeus XII, p. 520. Aelian. de Animal. XVI, 23.

661) Diodor. Sicul. XII, 10.

662) Strabo VI, p. 404. Diodor. Sicul. l. l.

663) 58 Jahre lang. Diodor. Sicul. XI, 90; XII, 10.

664) Herodot. VI, 21.

665) Jambl. de Vit. Pyth. s. 255 in einem Fragmente des Apollonios, der aus krotoniatischen Quellen schöpfte (s. 262: *ὡς ἐν τοῖς τῶν Κροτωνιατῶν ὑπομνήμασιν ἀναγέγραπται.*) *Ἐπεὶ δὲ Σύβαριν ἐχειρώσαντο, καὶ τὴν δορύκτητον* (das eroberte Land) *διῳκήσαντο, μὴ κατακληρουχθεῖσαν κατὰ τὴν ἐπιθυμίαν τῶν πολλῶν κ. τ. λ.* (*κληρουχθεῖσαν* statt des unsyntaktischen *κληρουχθῆναι*).

666) Diodor. Sicul. XII, 10; 11: *Οἱ γὰρ προϋπάρχοντες Συβαρῖται τὰς μὲν ἀξιολογωτάτας ἀρχὰς ἑαυτοῖς προσένεμον, τὰς δ' εὐτελεῖς τοῖς ὕστερον προσγεγραμμένοις πολίταις· καὶ τὰς γυναῖκας ἐπιθύειν τοῖς θεοῖς ᾤοντο δεῖν πρώτας μὲν τὰς πολίτιδας, ὑστέρας δὲ τὰς μεταγενεστέρας· πρὸς δὲ τούτοις τὴν μὲν σύνεγγυς τῇ πόλει χώραν κατεκληρούχουν ἑαυτοῖς, τὴν δὲ πόῤῥω κειμένην τοῖς ἐπήλυσι. Γενομένης δὲ διαφορᾶς διὰ τὰς εἰρημένας αἰτίας, οἱ προσγραφέντες ὕστερον πολῖται, πλείους καὶ κρείττονες ὄντες, ἀπέκτειναν σχεδὸν ἅπαντας τοὺς προϋπάρχοντας Συβαρίτας, καὶ τὴν πόλιν αὐτοὶ κατῴκησαν.*

667) Jambl. l. l. s. 255: *Ἐπεὶ δὲ Σύβαριν ἐχειρώσαντο καὶ τὴν δορύκτητον διῳκήσαντο; διοικίζειν* und *διοικίζεσθαι*, auseinander wohnen lassen, in gesonderte und zerstreute Wohnsitze führen, besonders von Bürgern einer eroberten Stadt, die in mehrere Dörfer auseinander gelegt werden; *διοικεῖσθαι*, wovon *διῳκήσαντο*, in der ganz verwandten Bedeutung: in auseinander gelegenen Orten wohnen; da aber, wie der Zusammenhang zeigt, von einer nach der Eroberung erst eingetretenen Vertheilung und Ansiedelung und einem darauffolgenden Bewohnen in auseinander liegenden Ortschaften die Rede ist, so folgt von selbst, dass eine mit dieser Ansiedelung verbundene Auseinanderlegung der Bewohner in einzelne Ortschaften erst vorhergegangen seyn muss.

668) Wie z. B. der 58 Jahre später von Thessaliern versuchte Wiederaufbau von Sybaris unter seinem alten Namen einen Krieg der Krotoniaten und eine Wiederzerstörung des aufgebauten Sybaris zur Folge hatte. Diodor. XII, 10.

669) Jambl. l. l. s. 255: *Ἐπεὶ δὲ τὴν δορύκτητον διῳκίσαντο μὴ κατακληρουχθεῖσαν κατὰ τὴν ἐπιθυμίαν τῶν πολλῶν, ἐξεῤῥάγη τὸ σιωπούμενον μῖσος.*

670) Herodot V, 45.

671) Jambl. l. l. s. 255: *Μέχρι μὲν οὖν τὴν ὑπάρχουσαν χώραν ἐκέκτητο, καὶ Πυθαγόρας ἐπεδήμει* (so lange als die Krotoniaten nur ihr altes Gebiet besassen, und Pythagoras daher in Kroton wohnte,) *διέμεινεν ἡ κεχορισμένη κατάστασις κ. τ. λ. Ἐπεὶ δὲ Σύβαριν ἐχειρώσαντο, κἀκεῖνος (Πυθαγόρας) ἀπῆλθε, καὶ τὴν δορύκτητον κατακληρουχθεῖσαν διῳκήσαντο κ. τ. λ.* (Es ist in dem ganzen Fragmente unausgesetzt von den Pythagoreern die Rede, also ist Pythagoras und die Pythagoreer das Subjekt zu *διῳκήσαντο.*) Bei der Besiegung von Sybaris zieht also Pythagoras von Kroton weg und bewohnt mit seinem Anhange das eroberte Land, d. h. das eroberte sybaritische Gebiet, in kleineren auseinander liegenden Ortschaften (denn das ist, wie wir gesehen haben, dem genauen und so zu sagen technischen Sprachgebrauch gemäss, die Bedeutung von *διῳκήσαντο*), je nach den einzelnen bei der Verloosung ihnen zugefallenen Antheilen (*κατακληρουχθεῖσαν*).

672) Jul. Firmici Astronomicon l. I, pag. 9 (Basil. 1533): Ipse (Pythagoras) patriam fugiens totamque Graeciam, ad aliena transivit imperia, Crotonam et Sybarim exul incoluit.

673) Jambl. de Vit. Pythag. s. 142: *Καὶ ἐν Συβάρει τὸν ὄφιν τὸν ἀποκτείναντα, τὸν δάσυν, ἔλαβε καὶ ἀπεπέμψατο.*

674) Jambl. de Vit. Pyth. s. 248: *Ὅτι μὲν οὖν ἀπόντος Πυθαγόρου ἐγένετο ἡ ἐπιβουλή* (der kylonische Angriff), *πάντες συνομολογοῦσι.*

675) Jambl. de Vit. Pyth. s. 170.

676) Jambl. l. l. Diogen. Laert. VIII, s. 42: *Ἦν δὲ τῷ Πυθαγόρᾳ καὶ γυνὴ, Θεανὼ ὄνομα, Βροντίνου τοῦ Κροτωνιάτου θυγάτηρ.* Wenn in derselben Stelle bei Diogenes und ebenso bei Andern, z. B. bei Jamblich selbst im Verzeichniss der Pythagoreerinnen c. 36, auch die Gattin des Brontinos Theano heisst, oder nach dem biograph. anonym. bei Photius auch eine der Töchter des Pythagoras (*καὶ ἡ Θεανὼ δὲ λέγεται οὐ μαθήτρια μόνον ἀλλὰ καὶ μία τῶν θυγατέρων αὐτοῦ εἶναι*), so erklärt sich dies einfach durch eine Verwechslung der ähnlich klingenden Namen: denn die Gattin des Brontinos, die Mutter der Theano hiess Deinono (Jambl. de

Vit. Pyth. s. 132) und die Tochter des Pythagoras hiess Damo (Jambl. l. l. s. 146, Lysid. epist. in Hipparch. p. 54 ed. Orelli). Auf derselben Verwechslung mit Deinono mag es auch beruhen, wenn Porphyr die Theano zu einer Kreterin macht (de Vit. Pyth. s. 4), wie aus Suidas (s. v. *Θεανώ*) hervorzugehen scheint. Theano war aber bei ihrer Verheirathung noch jung, denn sie überlebte den Pythagoras, stand noch eine Reihe von Jahren der pythagoreischen Schule vor und verheirathete sich zum zweiten Male mit Aristäos; sie war schön, wie aus der bekannten Abfertigung eines Unbescheidenen erhellt, der ihren zufällig vom Gewande entblössten Arm bewunderte (Theodoret. serm. 12). *Καλὸς ὁ πῆχυς*, was für ein schöner Arm! rief er aus. *Ἀλλ' οὐ δημόσιον*, — aber nicht für alle Welt, antwortete sie. Dass sie endlich auch geistreich war, beweisen dieser und ähnliche von ihr noch in späterer Zeit im Umlauf befindliche Aussprüche, und ihre dichterische und schriftstellerische Thätigkeit.

677) Clement. Alexandr. Strom. I, p. 309, C: *Δίδυμος ἐν τῷ περὶ Πυθαγορικῆς φιλοσοφίας, Θεανὼ τὴν Κροτωνιάτιν πρώτην γυναικῶν φιλοσοφῆσαι, καὶ ποιήματα γράψαι, ἱστορεῖ.*

678) Mnesarchos, nach seinem Grossvater benannt, später Nachfolger des Aristäos als Vorstand der Schule (Jamblich. de vit. Pyth. c. 36), starb nach dem Anonymus bei Photius noch in jüngeren Jahren, also noch im kräftigen Mannesalter (*καὶ ὁ μὲν Μνήσαρχος εἷς τῶν υἱῶν αὐτοῦ [Πυθαγόρου] λέγεται νεώτερος τελευτῆσαι*). Arimnestos war nach Duris (bei Porphyr. s. 3) unter den aus dem Exil nach Kroton zurückgekehrten Pythagoreern und später der Lehrer Demokrits. Telauges (Porphyr. s. 4), später ebenfalls Vorsteher der Schule (Anonymus bei Photius initio) war der Lehrer des Empedokles, dessen philosophisches Lehrgedicht *περὶ φύσεως* an ihn gerichtet ist (Diogen. Laert. VIII, 42); noch zu Platos Zeit war sein Andenken in Sizilien so frisch, dass ihn Aeschines bei seinem Aufenthalte am Hofe des Dionysios zum Gegenstand eines seiner boshaften Dialoge machte. (Diogen. Laert. II, s. 61. Athenaeus V, p. 220.) Von Myia ist weiter Nichts bekannt, als dass sie den Krotoniaten Meno heirathete, der beim Ausbruch der Kylonischen Unruhen an der Spitze der Pythagoreer stand (Jambl. c. 36: *Μυία, γυνὴ Μένωνος τοῦ Κροτωνιάτου*, vgl. Jambl. c. 30, s. 170; nicht *Μίλωνος*, denn dieser hatte schon um 515 v. Chr., also lange ehe

Myia geboren wurde, selbst eine erwachsene Tochter, welche der Arzt Demokedes heirathete. Arignote dagegen wurde als Schriftstellerin und Dichterin bekannt. (Suid. s. v. *Ἀριγνώτη.*) Auch Aesara (nach Bentley's richtiger Verbesserung statt *καὶ Σάρα* bei dem Anonymus des Photius, init.) scheint Schriftstellerin gewesen zu seyn, wenigstens findet sich in des Stobaeus Eclog. das Fragment einer Aesara Lucana. Da **Heraklea**, später ein Hauptsitz der Pythagoreer, zu Lukanien gerechnet wurde, so müsste sich Aesara dort aufgehalten haben. Von Damo ist weiter Nichts bekannt, als dass ihr Pythagoras seine Schriften hinterliess. (Lysid. epist. bei Diogen. Laert. VIII, 42. Jambl. c. 28, s. 146.)

679) Jambl. de Vit. Pyth. s. 146: *Κομιδῇ γὰρ νέος ὑπὸ τὸν Πυθαγόρου θάνατον ἀπολελειμμένος ἦν παρὰ Θεανοῖ τῇ μητρί.*

680) Athenaeus X, s. 13 (p. 418). Porphyr. de vit. Pyth. s. 34.

681) Diogen. Laert. VIII, 19. Jamblich. de vit. Pyth. s. 149. Aelian. Var. Hist. XII, 22. In dieser Stelle wird auch zu allem Ueberflusse noch berichtet, dass er, gegen die gewöhnliche griechische Sitte, Hosen trug.

682) Jambl. de Vith. Pyth. s. 170: *Φασὶ τοίνυν αὐτὸν τὸν Πυθαγόραν κληρονομήσαντα τὸν Ἀλκαίου βίον, τοῦ μετὰ τὴν εἰς Λακεδαίμονα πρεσβείαν τὸν βίον καταλύσαντος, οὐδὲν ἧττον θαυμασθῆναι κατὰ τὴν οἰκονομίαν ἢ τὴν φιλοσοφίαν· γήμαντα δὲ, τὴν γεννηθεῖσαν αὐτῷ θυγατέρα, μετὰ ταῦτα δὲ Μένωνι τῷ Κροτωνιάτῃ συνοικήσασαν, ἀγαγεῖν οὕτως, ὥστε παρθένον μὲν οὖσαν ἡγεῖσθαι τῶν χορῶν, γυναῖκα δὲ γενομένην πρώτην προσιέναι τοῖς βωμοῖς.*

683) Epist. Lysid. apud Diogen. Laert. VIII, 42: *Πενίαν γὰρ καὶ τὰς τῶ πατρὸς ἐπισκήψιας ἐνόμιζε χρυσῶ τιμιωτέρας εἶναι* (Damo, die Tochter des Pythagoras). Ueber des Telauges Armuth macht sich der Sokratiker Aeschines lustig, obgleich selber ein armer Schlucker: Athenaeus V, p. 220: *Αἰσχίνης ὁ Σωκρατικὸς ἐν μὲν τῷ Τηλαύγει .... τὸν Τηλαύγην αὐτὸν ἱματίου μὲν φορήσεως καθ' ἡμέραν ἡμιωβόλιον κναφεῖ τελοῦντα μισθὸν, κωδίῳ δὲ ἐζωσμένον, καὶ τὰ ὑποδήματα σπαρτίοις ἐνημμένον σαπροῖς κωμῳδεῖ.*

684) Jambl. de Vit. Pyth. s. 30: *Ὁμοῦ σὺν παισὶ καὶ γυναιξὶν πολίσαντες αὐτοῖς τὴν πρὸς πάντων ἐπικληθεῖσαν μεγάλην Ἑλλάδα κ. τ. λ.* sagt Nicomachus in seiner kopflos ausschmückenden Weise,

nach welcher die von des Pythagoras Rede bei seiner Ankunft in Kroton begeisterten Zweitausend gleich mit Weib und Kind aufgebrochen wären, um Grossgriechenland mit Städten zu bevölkern. Dass aber diesem Unsinn eine Reminiscenz an die im Texte berührte Ansiedlung des sybaritischen Gebietes zu Grunde liege, ist offenbar.

685) Diog. Laert. VIII, 41: *κατὰ γῆς οἰκίσκος*. Scholiast. ad. Sophocl. Electr. v. 59: *ὑπόγειον*.

686) Diod. Sicul. Excerpt. de Virt. et Vit. fr. 53: *παροξυνθεὶς οὖν* (Cylo Crotoniata) *τῷ συστήματι τῶν Πυθαγορείων*. Diog. Laert. VIII, 45: *καὶ αὐτὸ τὸ σύστημα διέμεινε μέχρι γενεῶν ἐννέα ἢ καὶ δέκα* (denn so muss statt *ἐννεακαίδεκα* emendirt werden). Dass *σύστημα* aber ausschliesslich die engere, eigentliche Schule bedeutete, erhellt z. B. aus der Nachricht, Epicharm, als blosser Akusmatiker und als Glied der krotonischen Aerzteschule, habe nicht zur engeren pythagoreischen Schule gehört. Jambl. de Vit. Pyth. s. 266: *Τῶν δ' ἔξωθεν ἀκροατῶν γενέσθαι καὶ Ἐπίχαρμον, ἀλλ' οὐκ ἐκ τοῦ συστήματος τῶν ἀνδρῶν*. Bei Polyb. II, 39 init. heissen die Schulen der Pythagoreer *συνέδρια*.

687) Jambl. de Vit. Pyth. s. 30: *ὁμακόειόν τι παμμέγεθες ἱδρυσάμενοι*; s. 74: *ἐξήλαυνον ἐκ τοῦ ὁμακοίου*; s. 185: *εἰ μή περ ἐν τῷ ὁμακοΐῳ γενόμενος* etc. In dieser letzteren Stelle erscheint das *ὁμακόειον* als der gemeinschaftliche Sammelplatz aller Schüler, wie sehr natürlich. In diesem Sinne erklärt Clemens Alexandr. Strom. I, p. 355: *τὴν ἐκκλησίαν τὴν νῦν οὕτω καλουμένην τὸ παρ' αὐτῷ* (Pythagora) *ὁμακόϊον αἰνίττεται*.

688) Jambl. de Vit. Pyth. s. 73: *Μνῆμα ἐχώννυντο ὑπὸ τῶν ὁμακόων· οὕτω γὰρ ἐκαλοῦντο πάντες οἱ περὶ τὸν ἄνδρα*. Eben so wird s. 162 den *ὁμακόοις*, den Mitgliedern der engeren Schule, der Schwur bei Pythagoras und der Tetraktys zugeschrieben.

689) Jambl. de Vit. Pyth. s. 29 in fin.: *ἀλλὰ καὶ τὸ λεγόμενον κοινοβίους, καθὼς προςέταξε, γενομένους*. s. 81 init. *διέταξε καὶ τὴν συμβίωσιν*.

690) Jambl. de Vit. Pyth. s. 98 init.: *Λουσαμένους τε ἐπὶ τὰ συσσίτια ἀπαντᾶν· ταῦτα δ' ἐξεῖναι μὴ πλεῖον ἢ δέκα ἀνθρώπους συνευωχεῖσθαι*. Von Milo spielt eine Geschichte in einem solchen *συσσίτιον* bei Strabo. I. VI, c. 1 (p. 18 ed. Tauchn.).

691) Jambl. de Vit. Pyth. s. 99.

692) Jambl. de Vit. Pyth. s. 245: *Παραιτήσασθαι δὲ λέγονται τοὺς τὰ μαθήματα καπηλεύοντας, καὶ τὰς ψυχὰς, ὡς πανδοχείου θύρας, ἀνοίγοντας παντὶ τῷ προσιόντι τῶν ἀνθρώπων, ἂν δὲ μηδὲ οὕτως ὠνηταὶ εὑρεθῶσιν, αὐτοὺς ἐπιχεομένους εἰς τὰς πόλεις καὶ συλλήβδην ἐργολαβοῦντας τὰ γυμνάσια καὶ τοὺς νέους, καὶ μισθὸν τῶν ἀτιμήτων πράττοντας*; vgl. die Noten 627—630 u. 705.

693) Aul. Gell. I, 9, s. 12: Sed id quoque non praetereundum est, quod omnes simul, qui a Pythagora in cohortem illam disciplinarum recepti erant, (also bei der Aufnahme in die Schule) quod quisque familiae pecuniaeque habebat, in medium dabant, et coibatur societas inseparabilis, tanquam illud fuerit antiquum consortium (sors, Kapital, das fenus, Zinsen, Procente tragt; consortium jede Gesellschaft, Handels-Unternehmung, Kompagnie mit einem zusammengelegten, gemeinschaftlichen Kapital, einer gemeinsamen Kasse, so dass Ausgaben und Einnahmen, Unkosten und Gewinn gemeinschaftlich getheilt werden; mit einer solchen Kompagnie wird also die Einrichtung der pythagoreischen Schule verglichen). Damit stimmen nun auch die griechischen Quellen; Diogen. Laert. VIII, s. 10: *Εἰπέ τε πρῶτος* (sc. *Πυθαγόρας*), *ὥς φησι Τίμαιος* (der sicilische Geschichtschreiber), *κοινὰ τὰ τῶν φίλων εἶναι, καὶ φιλίαν ἰσότητα· καὶ αὐτοῦ οἱ μαθηταὶ κατετίθεντο τὰς οὐσίας, εἰς ἓν ποιούμενοι.* Idem. X, s. 11: *Τόν τε Ἐπίκουρον μὴ ἀξιοῦν εἰς τὸ κοινὸν κατατίθεσθαι τὰς οὐσίας, καθάπερ τὸν Πυθαγόραν, κοινὰ τὰ τῶν φίλων λέγοντα.* Eben so Zenobius (Centur. IV, 79) zur Erklärung des Sprichwortes *κοινὰ τὰ τῶν φίλων: Τίμαιός φησιν, ὅτι προσιόντας Πυθαγόρᾳ μαθητὰς περὶ τὴν Ἰταλίαν ἔπειθεν ὁ φιλόσοφος κοινὰς τὰς οὐσίας ποιεῖσθαι· ὅθεν εἰς παροιμίαν ἡ συμβουλὴ τοῦ Πυθαγόρου ἦλθεν.* Genauer Schol. ad Platon. Phaedr. p. 319. Bekk. *φησὶ γοῦν ὁ Τίμαιος ἐν τῷ ἑ οὕτω: προσιόντων δ' οὖν αὐτῷ* (*Πυθαγόρᾳ*) *τῶν νεωτέρων καὶ βουλομένων συνδιατρίβειν, οὐκ εὐθὺς συνεχώρησεν, ἀλλ' ἔφη δεῖν καὶ τὰς οὐσίας κοινὰς εἶναι τῶν ἐντυγχανόντων* (also mit ausdrücklicher Beschränkung auf die Jünglinge, welche in seine Schule aufgenommen werden wollten). Hiermit übereinstimmend Jambl. de Vit. Pyth. s. 72: *Ἐν δὴ τῷ χρόνῳ τούτῳ* (d. h. bei der Aufnahme in die Schule) *τὰ μὲν ἑκάστου ὑπάρχοντα, τουτέστιν αἱ οὐσίαι, ἐκοινωνοῦντο.* und s. 168: *καὶ εἰ μὲν ἠρέσκετο τῇ κοινωνίᾳ, ἐχρῆτο τοῖς κοινοῖς κατὰ τὸ*

δικαιότατον· εἰ δὲ μή, ἀπολαβὼν ἂν τὴν ἑαυτοῦ οὐσίαν (sein Eigenthum, d. h. sein Geld, sein Kapital) *καὶ πλείονα* (also offenbar die dazugeschlagenen Zinsen); *ἧς εἰςενηνόχει εἰς τὸ κοινόν* (das er zur gemeinsamen Kasse mitgebracht hatte), *ἀπηλλάττετο* (trat er aus der Schule). Origen. philos. c. 2. p. 9: *Ἔθος δὲ τοῦτο ἦν παρ' αὐτῷ, ἐπειδὰν προσίει τις μαθευσόμενος, πιπράσκειν τὰ ὑπάρχοντα* (?) *καὶ τὸ ἀργύριον κατατιθέναι ἐσφραγισμένον* (?) *παρὰ τῷ Πυθαγόρᾳ· καὶ ὑπέμεινε σιωπῶν, ὅτε μὲν ἔτη τρία, ὅτε δὲ πέντε, καὶ μανθάνειν· αὖθις δὲ λυθεὶς ἐμίσγετο τοῖς ἑτέροις καὶ παρέμενε μαθητὴς καὶ συνειστιᾶτο ἅμα* (und vorher nicht?)· *εἰ δ' οὔ, ἀπελάμβανε τὸ ἴδιον καὶ ἀπεβάλλετο.* Die einzelnen Abweichungen dieser Nachrichten von einander berichtigen sich von selbst. Noch deutlicher tritt diese gemeinschaftliche Kasse zur Bestreitung der gemeinsamen Ausgaben in einer andern Stelle (s. 74.) hervor, die ebenfalls von der Ausstossung aus der Schule handelt: *ἐξήλαυνον ἐκ τοῦ ὁμακοΐου, φορτίσαντες χρυσοῦ τε καὶ ἀργύρου πλῆθος. κοινὰ γὰρ αὐτοῖς καὶ ταῦτα* (Gold und Silber, d. h. baares Geld) *ἀπέκειτο ὑπὸ τινῶν εἰς τοῦτο ἐπιτηδείων διοικονομούμενα, οὓς προςηγόρευον οἰκονομικοὺς ἀπὸ τοῦ τέλους* (von der Verwaltung der Ausgaben). Die Errichtung einer gemeinsamen Kasse, gebildet aus Geldbeiträgen der Schüler beim Eintritte in die Schule, zur Bestreitung der Unkosten während des Aufenthaltes in der Schule, das ist also Alles, was die ältesten Nachrichten einfach und nüchtern melden. Erst der gedankenlose Missverstand der allerspätesten Zeit macht daraus eine Gütergemeinschaft bei den Grossgriechen: Photii Lexic. (s. v. *κοινὰ τ. τ. φ.*) *Τίμαιός φησιν ταύτην* (*τὴν παροιμίαν*) *λεχθῆναι κατὰ τὴν μεγάλην Ἑλλάδα, καθ' οὓς χρόνους Πυθαγόρας ἀνέπειθεν τοὺς ταύτην ἐνοικοῦντας ἀδιανέμητα κεκτῆσθαι.*

694) S. die eben citirte Stelle des Jambl. de Vit. Pyth. s. 74; ebenso s. 72: *τὰ μὲν ἑκάστου ὑπάρχοντα τουτέστι αἱ οὐσίαι ἐκοινοῦντο, διδόμενα τοῖς ἀποδεδειγμένοις εἰς τοῦτο γνωρίμοις, οἵπερ ἐκαλοῦντο οἰκονομικοί, πολιτικοί* (Geschäftsleute, Verwaltungs-Beamte) *τινες καὶ νομοθετικοὶ* (Verordnungs-Beamte, Revisoren) *ὄντες.* Denn so muss nach s. 74 gelesen werden, wo die Nämlichen ebenfalls *οἰκονομικοί* hiessen; und die Worte *πολιτικοί τινες καὶ νομοθετικοὶ ὄντες* sollen die Stellung der *οἰκονομικοὶ* in der Schule durch die Vergleichung mit den *πολιτικοῖς* und *νομοθετικοῖς* im Staate erläutern.

Die bisherige Lesart: οἵπερ ἐκαλοῦντο πολιτικοὶ καὶ οἰκονομικοί τινες καὶ νομοθετικοὶ ὄντες ist offenbar verderbt.

695) Jambl. de Vit. Pyth. s. 169: καὶ γὰρ ἄλλως ἀρχή ἐστιν ἡ περὶ τὸν οἶκον δικαία διάθεσις τῆς ὅλης ἐν ταῖς πόλεσιν εὐταξίας· ἀπὸ γὰρ τῶν οἴκων αἱ πόλεις συνίστανται. Aus einem Bruchstücke des Aristoxenus.

696) Jambl. de Vit. Pyth. s. 167. Aus demselben Bruchstücke des Aristoxenus: Ἀρχὴ τοίνυν ἐστὶ δικαιοσύνης μὲν τὸ κοινὸν καὶ ἴσον, καὶ τὸ ἐγγυτάτω ἑνὸς σώματος καὶ μιᾶς ψυχῆς ὁμοπαθεῖν πάντας, καὶ ἐπὶ τὸ αὐτὸ τὸ ἐμὸν φθέγγεσθαι καὶ τὸ ἀλλότριον· ὥσπερ δὴ καὶ Πλάτων, μαθὼν παρὰ τῶν Πυθαγορείων, συμμαρτυρεῖ (de repubI. V, p. 462, d.). Τοῦτο τοίνυν ἄριστα ἀνδρῶν κατεσκεύασεν (Πυθαγόρας), ἐν τοῖς ἤθεσι τὸ ἴδιον πᾶν ἐξορίσας, τὸ δὲ κοινὸν αὐξήσας, μέχρι τῶν ἐσχάτων κτημάτων, καὶ στάσεως αἰτίων ὄντων καὶ ταραχῆς· κοινὰ γὰρ πᾶσι πάντα καὶ ταὐτὰ ἦν, ἴδιον δὲ οὐδεὶς οὐδὲν ἐκέκτητο· οὕτως ἐξ ἀρχῆς τῆς πρώτης τὴν δικαιοσύνην ἄριστα κατεστήσατο.

697) Z. B. das allbekannte Freundschafts-Bündniss zwischen Phintias und Damon zur Zeit des jüngeren Dionysios (Jambl. de vit. Pyth. s. 234—236), das unser Schiller verewigt hat.

698) Dass aber ein solches Zusammenleben und eine Fortdauer der Schule auch in späteren Zeiten durch diese Einrichtung von Pythagoras beabsichtigt wurde, berichten die überlieferten Nachrichten ausdrücklich. Jambl. de Vit. Pyth. s. 81: κοινὴν εἶναι τὴν οὐσίαν διέταξε (Πυθαγόρας) καὶ τὴν συμβίωσιν ἅμα διὰ παντὸς τοῦ χρόνου διατελεῖν.

699) S. die eben citirte Stelle des Jamblich (de Vit. Pyth. s. 81): Τῶν μὲν οὖν Πυθαγορικῶν (statt Πυθαγορείων, nach dem oben Note 638 nachgewiesenen Sprachgebrauch) κοινὴν εἶναι τὴν οὐσίαν διέταξε, καὶ τὴν συμβίωσιν ἅμα διὰ παντὸς τοῦ χρόνου διατελεῖν· τοὺς δὲ ἑτέρους ἰδίας μὲν κτήσεις ἔχειν ἐκέλευσε, συνιόντας δὲ εἰς ταυτὸ συσχολάζειν ἀλλήλοις. καὶ οὕτω τὴν διαδοχὴν ταύτην ἀπὸ Πυθαγόρου κατ' ἀμφοτέρους τοὺς τρόπους συστῆναι.

700) Jambl. de Vit. Pyth. s. 239.

701) Jambl. l. l. s. 239.

702) Jambl. de Vit. Pyth. s. 254 aus dem Bericht des Apollonius von den Krotoniatischen Unruhen: *μεγάλην μὲν ἑταιρείαν συνηγηοχότας, ἦσαν γὰρ ὑπὲρ τριακοσίους*, etc.

703) In dem nämlichen Bericht s. 257: *ἐπὶ τῷ τὰς οὐσίας ἀλλήλων μὲν παρέχειν κοινάς, πρὸς ἐκείνους (τοὺς συγγενεῖς) δὲ ἐξηλλοτριωμένας, χαλεπώτερον ἔφερον οἱ συγγενεῖς.*

704) S. Note 627—630.

705) S. Note 628. Dieselbe Denkweise fand sich daher auch, wie wir gesehen haben, bei den späteren Pythagoreern. Cf. Jambl. de Vit. Pyth. s. 245 in fin.: *λέγειν δ' αὐτοὺς οἶμαι καὶ περὶ τοῦ μισθοῦ διδάσκειν τοὺς προσιόντας, οὓς καὶ χείρους τῶν ἑρμογλύφων καὶ ἐπιδιφρίων τεχνιτῶν ἀποφαίνουσι· τοὺς μὲν γάρ, ἐκδομένου τινὸς Ἑρμῆν, ζητεῖν εἰς τὴν διάθεσιν τῆς μορφῆς ξύλον ἐπιτήδειον· τοὺς δὲ προχείρως ἐκ πάσης φύσεως ἐργάζεσθαι τὴν τῆς ἀρετῆς ἐπιτήδευσιν.* „Non ex quovis ligno Mercurius."

706) Aul. Gell. Noct. attic. I, 9, 2: Jam a principio adolescentes, qui sese ad discendum attulerant, *ἐφυσιογνωμόνει*. Id verbum significat, mores naturasque hominum conjectatione quadam de oris et vultus ingenio deque totius corporis filo atque habitu sciscitari. Jambl. de Vit. Pyth. s. 71: *προςεθεώρει δὲ καὶ τὸ εἶδος καὶ τὴν πορείαν καὶ τὴν ὅλην τοῦ σώματος κίνησιν· τοῖς δὲ τῆς φύσεως γνωρίσμασι φυσιογνωμονῶν αὐτοὺς σημεῖα τὰ φανερὰ ἐποιεῖτο τῶν ἀφανῶν ἠθῶν ἐν τῇ ψυχῇ.* Porphyr. de Vit. Pyth. s. 13: *ταύτην γὰρ ἠκρίβου πρῶτος τὴν περὶ ἀνθρώπων ἐπιστήμην, ὁποῖος τὴν φύσιν ἕκαστος ἐκμανθάνων· καὶ οὔτ' ἂν φίλον οὔτε γνώριμον ἐποιήσατο οὐδένα, πρὶν πρότερον φυσιογνωμονῆσαι τὸν ἄνδρα, ὁποῖός ποτ' ἐστίν.*

707) Jambl. de Vit. Pyth. s. 71: *Πρῶτον μὲν πυνθανόμενος, πῶς τοῖς γονεῦσι καὶ τοῖς οἰκείοις τοῖς λοιποῖς εἰσὶν ὡμιληκότες. ἔπειτα θεωρῶν αὐτῶν τούς τε γέλωτας τοὺς ἀκαίρους, καὶ τὴν σιωπὴν καὶ τὴν λαλιὰν παρὰ τὸ δέον, ἔτι δὲ τὰς ἐπιθυμίας, τίνες εἰσίν, καὶ τοὺς γνωρίμους, οἷς ἐχρῶντο, καὶ τὴν πρὸς τούτους ὁμιλίαν, καὶ πρὸς τίνι μάλιστα τὴν ἡμέραν σχολάζουσι, καὶ τὴν χαρὰν καὶ τὴν λύπην ἐπὶ τίσι τυγχάνουσι ποιούμενοι.* Idem s. 94. *Πῶς πρὸς ὀργὴν ἔχουσιν, ἢ πρὸς ἐπιθυμίαν, ἢ εἰ φιλόνεικοί εἰσιν ἢ φιλότιμοι κ. τ. λ.*

708) Jambl. de Vit. Pyth. s. 94: *Εἰ δὲ πάντα ἀκριβῶς αὐτῷ ἐπιβλέποντι ἐξηρτυμένοι ἐφαίνοντο τοῖς ἀγαθοῖς ἤθεσι, τότε περὶ εὐμαθίας καὶ μνήμης ἐσκόπει· πρῶτον μὲν, εἰ δύνανται ταχέως καὶ σαφῶς παρακολουθεῖν τοῖς λεγομένοις· ἔπειτα εἰ παρέπεταί τις αὐτοῖς ἀγάπησις καὶ σωφροσύνη πρὸς τὰ διδασκόμενα.*

709) Jambl. l. l. s. 95: *Ἐπεσκόπει δὲ καὶ, πῶς ἔχουσι φύσεως πρὸς ἡμέρωσιν· ἐκάλει δὲ τοῦτο κατάρτυσιν. πολέμιον δὲ ἡγεῖτο τὴν ἀγριότητα πρὸς τοιαύτην διαγωγήν· ἀκολουθεῖν γὰρ ἀγριότητι ἀναίδειαν, ἀναισχυντίαν, ἀκολασίαν, δυςμάθειαν, ἀναρχίαν, ἀτιμίαν καὶ τὰ ἀκόλουθα· πραότητι δὲ καὶ ἡμερότητι τὰ ἐναντία.*

710) Jambl. l. l. s. 95 in fin.: *Ἐν μὲν οὖν τῇ διαπείρᾳ τοιαῦτα ἐπεσκόπει, καὶ πρὸς ταῦτα ἤσκει τοὺς μανθάνοντας. τοὺς δὲ ἁρμόζοντας τοῖς ἀγαθοῖς τῆς παρ' ἑαυτῷ σοφίας ἐνέκρινε, καὶ οὕτως ἐπὶ τὰς ἐπιστήμας ἀνάγειν ἐπειρᾶτο· εἰ δὲ ἀνάρμοστον κατίδοι τινά, ὥςπερ ἀλλόφυλόν τινα καὶ ὀθνεῖον ἀπήλαυνε.*

711) Lysid. epist. ad Hipparch. (Jambl. de Vit. Pyth. s. 76): *Τὸν αὐτὸν τρόπον καὶ ὁ δαιμόνιος ἀνὴρ προπαρεσκεύαζε τὰς ψυχὰς τῶν τᾶς φιλοσοφίας ἐρασθέντων, ὅπως μὴ διαψευσθῇ περί τινα τῶν ἐλπισθέντων ἐσεῖσθαι καλῶν τε κἀγαθῶν.*

712) Jambl. de Vit. Pyth. s. 72 in fin.: *Αὐτοὶ δὲ εἰ μὲν ἄξιοι ἐφαίνοντο τοῦ μετέχειν δογμάτων ἔκ τε βίου καὶ τῆς ἄλλης ἐπιεικείας κριθέντες, μετὰ τὴν πενταετῆ σιωπὴν ἐσωτερικοὶ λοιπὸν ἐγίνοντο.*

713) Jambl. l. l. s. 74: *Εἰ δὲ μετὰ τὸ ἐκ μορφῆς τε καὶ βαδίσματος καὶ τῆς ἄλλης κινήσεώς τε καὶ καταστάσεως ὑπ' αὐτοῦ φυσιογνωμονηθῆναι καὶ ἐλπίδα ἀγαθὴν περὶ αὐτῶν παρασχεῖν, μετὰ πενταετῆ σιωπὴν, καὶ μετὰ τοὺς ἐκ τῶν τοσῶνδε μαθημάτων ὀργιασμοὺς καὶ μυήσεις, ψυχῆς τε ἀποῤῥύψεις καὶ καθαρμοὺς τοσούτους τε καὶ τηλικούτους, δυςκίνητος ἔτι τις καὶ δυςπαρακολούθητος εὑρίσκετο, ἐξήλαυνον (αὐτὸν) ἐκ τοῦ ὁμακοΐου.*

714) Jambl. l. l. s. 73: *Εἰ δ' ἀποδοκιμασθείησαν, τὴν μὲν οὐσίαν ἐλάμβανον διπλῆν.* cf. s. 168 u. s. 74, Note 593.

715) Jambl. l. l. s. 74.

716) *Πενταετία*, Diog. Laert. VIII, s. 10, die *πενταετὴς σιωπή*, Jambl. l. l. s. 72 u. 74; s. Note 612 u. 613; s. 72: *μετὰ δὲ τοῦτο τοῖς προςιοῦσι προςέταττε σιωπὴν πενταετῆ, ἀποπειρώμε-*

τος, πῶς ἐγκρατῶς ἔχουσιν. Clem. Al. Stromat. V, c. 5. Origen. philos. c. 2, p. 6.

717) Jambl. l. l. s. 72: *Καὶ ὅντινα δοκιμάσειεν οὕτως, ἐφίει τριῶν ἐτῶν ὑπερορᾶσθαι, δοκιμάζων πῶς ἔχει βεβαιότητος καὶ ἀληθινῆς φιλομαθίας, καὶ εἰ πρὸς δόξαν ἱκανῶς παρεσκεύασται, ὥστε καταφρονεῖν τιμῆς.*

718) Aul. Gell. noct. attic. I, 9, s. 3: Tum, qui exploratus ab eo, idoneusque fuerat, recipi in disciplinam statim jubebat, et tempus certum t a c e r e. Is autem, qui tacebat, quae dicebantur ab aliis, audiebat; neque percontari, si parum intellexerat, neque commentari, quae audierat, fas erat. Aehnlich Origen. philos. c. 2, p. 6.

719) Wie es z. B. Lucian in's Lächerliche zieht, Lucian vitar. auct. s. 3 in fin.: *Τὸ μὲν πρῶτον, ἡσυχίη μακρὴ, καὶ ἀφωνίη, καὶ πέντε ὅλων ἐτέων λαλέειν μηδέν,*

720) Aul. Gell. l. l. Jubebat tempus certum tacere; non omnes idem, sed alios aliud tempus pro aestimato captu sollertiae. Sed non minus quisquam tacuit, quam biennium. Apulejus Florid. II, p. 18: gravioribus viris brevi spatio satis visam taciturnitatem modificatam. Deshalb heissen sie auch H ö r e r, *ἀκουστικοί*: Aul. Gell. l. l.: Hi prorsus appellabantur intra tempus tacendi audiendique *ἀκουστικοί*.

721) Aelian var. hist. IV, c. 17: *Οὐχ οἷόν τε δὲ ἦν διαπορῆσαι ὑπέρ τινος αὐτῷ, ἢ τοῖς λεχθεῖσι τι προςερωτῆσαι, ἀλλ' ὡς χρησμῷ θείῳ, οὕτως οἱ τότε προςεῖχον τοῖς λεγομένοις ὑπ' αὐτοῦ.*

722) Cic. de nat. Deor. I, c. 5: Neque probare soleo id, quod de Pythagoreis accepimus: quos ferunt, si quid affirmarent in disputando, quum ex iis quaereretur, qua re ita esset, respondere solitos: i p s e d i x i t. Ipse autem erat Pythagoras. Tantum opinio praejudicata poterat, ut etiam sine ratione valeret auctoritas. Ebenso Diog. Laert. VIII, 46; Clem. Strom. II, 369, b.

723) Jambl. de Vit. Pyth. s. 72: *Αὐτοὶ δὲ εἰ μὲν ἄξιοι ἐφαίνοντο τοῦ μετέχειν δογμάτων, μετὰ τὴν πενταετῆ σιωπὴν ἐ σ ω τ ε ρ ι κ ο ὶ λοιπὸν ἐγίνοντο, καὶ ἐντὸς σινδόνος ἐπήκουον τοῦ Πυθαγόρου μετὰ τοῦ καὶ βλέπειν αὐτόν.. πρὸ τούτου δὲ ἐκτὸς*

αὐτῆς καὶ μηδέποτε αὐτῷ ἐνορῶντες μετεῖχον τῶν λόγων διὰ ψιλῆς ἀκοῆς ἐν πόλλῳ χρόνῳ διδόντες βάσανον τῶν οἰκείων ἠθῶν. Diog. Laert. VIII, s. 10: Πενταετίαν τε ἡσύχαζον, μόνον τῶν λόγων κατακούοντες, καὶ οὐδέπω Πυθαγόραν ὁρῶντες, εἰς ὃ δοκιμασθεῖεν. Τοὐντεῦθεν δὲ ἐγίνοντο τῆς οἰκίας αὐτοῦ, καὶ τῆς ὄψεως μετεῖχον.

724) Diog. Laert. VIII, s. 15: Καὶ εἰ ἀξιωθεῖεν αὐτὸν θεάσασθαι, ἔγραφον πρὸς τοὺς οἰκείους, ὡς μεγάλου τινὸς τετυχηκότες.

725) Jambl. de Vit. Pyth. s. 73: Εἰ δ' ἀποδοκιμασθείησαν, μνῆμα αὐτοῖς ὡς νεκροῖς ἐχώννυντο ἀπὸ τῶν ὁμακόων. οὕτω γὰρ ἐκαλοῦντο πάντες οἱ περὶ τὸν ἄνδρα. συντυγχάνοντες δὲ αὐτοῖς οὕτω συνετύγχανον, ὡς ἄλλοις τισίν· ἐκείνους δὲ ἔφασαν τεθνάναι.

726) Jambl. l. l. s. 74: στήλην δή τινα τῷ τοιούτῳ καὶ μνημεῖον ἐν τῇ διατριβῇ χώσαντες, — καθὰ καὶ Περιάλῳ τῷ Θουρίῳ λέγεται καὶ Κύλωνι τῷ Συβαριτῶν ἐξάρχῳ, ἀπογνωσθεῖσιν ὑπ' αὐτῶν, — ἐξήλαυνον ἐκ τοῦ ὁμακοΐου. Dasselbe wiederfuhr auch einem erwachsenen, längst aus der Schule in's bürgerliche Leben übergetretenen Mitgliede, dem Hipparchos, dem Zeitgenossen und Mitschüler des Lysis (Clem. Alex. Strom. V, p. 375), als er die in der Schule erworbenen Kenntnisse zu Geld machte und die Mathematik öffentlich lehrte; indem er dadurch einen solchen Anstoss gab, dass man, um einen solchen Schimpf von der Schule wegzuwälzen, ihn nicht blos ausstiess (Jamblich l. l. s. 246 in fin.): τὸν γοῦν πρῶτον ἐκφάναντα τὴν τῆς συμμετρίας καὶ ἀσυμμετρίας φύσιν (also die Lehre von den Inkommensurabelen) τοῖς ἀναξίοις μετέχειν τῶν λόγων, οὕτω φασὶν ὑποστυγηθῆναι, ὡς μὴ μόνον ἐκ τῆς κοινῆς συνουσίας καὶ διαίτης (αὐτὸν) ἐξορισθῆναι, ἀλλὰ καὶ τάφον αὐτοῦ κατασκευασθῆναι, ὡς δῆτα ἀποιχομένου ἐκ τοῦ μετ' ἀνθρώπων βίου τοῦ ποτὲ ἑτέρου γενομένου. Bei Jambl. s. 88 wird dagegen Hippasos genannt; beide scheinen ausgestossen worden zu seyn.

727) Jambl. de Vit. Pyth. s. 249: γενομένου δὲ τούτου, πόλεμον ἰσχυρὸν ἤρατο καὶ αὐτὸς καὶ οἱ φίλοι αὐτοῦ τοῦ Κύλωνος πρὸς αὐτόν τε τὸν Πυθαγόραν καὶ τοὺς ἑταίρους. καὶ οὕτω σφοδρά τις ἐγένετο καὶ ἄκρατος ἡ φιλοτιμία αὐτοῦ τε τοῦ Κύλωνος καὶ τῶν μετ' ἐκείνου τεταγμένων, ὥστε διατείναι μέχρι τῶν τελευταίων Πυθαγορείων.

728) Aul. Gell. I, 9, s. 5: Ast ubi res didicerant omnium rerum difficillimas, tacere audireque, atque esse jam coeperant silentio eruditi, tum verba facere et quaerere, quaeque audissent scribere, et quae ipsi opinarentur expromere potestas erat.

729) Jambl. de Vit. Pyth. s. 104: *πλῆθος ἐλλογίμων καὶ ὑπερφυῶν ἀνδρῶν, τάς τε διαλέξεις, καὶ τὰς πρὸς ἀλλήλους ὁμιλίας, καὶ τοὺς ὑπομνηματισμούς τε καὶ ὑποσημειώσεις, καὶ αὐτὰ ἤδη τὰ συγγράμματα καὶ ἐκδόσεις πάσας, ὧν τὰ πλείονα μέχρι καὶ τῶν ἡμετέρων χρόνων διασώζεται, οὐ συνετὰ ἐποιοῦντο τοῖς ἄλλοις ἅπασιν, ἀλλὰ* κ. τ. λ. s. 157: *Περὶ δὲ τῆς σοφίας αὐτοῦ (τοῦ Πυθαγόρου); ὡς μὲν ἁπλῶς εἰπεῖν, μέγιστόν ἐστι τεκμήριον τὰ γραφέντα ὑπὸ τῶν Πυθαγορείων ὑπομνήματα περὶ πάντων, ἔχοντα τῆς ἀληθείας, καὶ στρόγγυλα μὲν περὶ τὰ ἄλλα πάντα ἀρχαιοτρόπου δὲ καὶ παλαιοῦ πίνου διαφερόντως, ὥςπερ τινὸς ἀχειραπτήτου χνοῦ προςπνέοντα, μετ' ἐπιστήμης δαιμονίας ἄκρως συλλελογισμένα, ... καὶ πραγμάτων ἐναργῶν καὶ ἀναμφιλέκτων, ὡς ὅτι μάλιστα μεστὰ μετὰ ἀποδείξεως ἐπιστημονικῆς, καὶ πλήρους τὸ λεγόμενον συλλογισμοῦ* κ. τ. λ.

730) Jambl. l. l. s. 198: *καλὸν δὲ καὶ τὸ πάντα Πυθαγόρᾳ ἀνατιθέναι τε καὶ ἀποκαλεῖν, καὶ μηδεμίαν περιποιεῖσθαι δόξαν ἰδίαν ἀπὸ τῶν εὑρισκομένων, εἰ μή πού τι σπάνιον. πάνυ γάρ δή τινές εἰσιν ὀλίγοι, ὧν ἴδια γνωρίζεται ὑπομνήματα.* Auf diese Weise erklärt es sich, wie manche Schriften bald dem Pythagoras, bald einzelnen seiner Schüler beigelegt werden konnten. Jambl. l. l. s. 158: *Ὁμολογεῖται τοίνυν τὰ μὲν Πυθαγόρου εἶναι τῶν συγγραμμάτων τῶν νυνὶ φερομένων, τὰ δὲ ἀπὸ τῆς ἀκροάσεως αὐτοῦ συγγεγράφθαι, καὶ διὰ τοῦτο οὐδὲ ἑαυτῶν ἐπεφήμιζον αὐτά, ἀλλὰ εἰς Πυθαγόραν ἀνέφερον αὐτὰ, ὡς ἐκείνου ὄντα.*

Φράδμονες, οὔτ' ἄποθεν μάλ' ἀποστρέψαι κακότητος
Οὔτ' ἀγαθοῦ παρεόντος ἐπιστρέψαι τε καὶ ἔρξαι
Ἴδριες, ἀλλὰ μάτην ἀδαήμονες, ἀπρονόητοι.

1095) Malela und Cedrenus l. l.: *Τὸν δὲ ἄνθρωπον εἶπεν (ὁ Ὀρφεὺς) ὑπ' αὐτοῦ τοῦ θεοῦ πλασθέντα ἐκ γῆς, καὶ ψυχὴν ὑπ' αὐτοῦ λαβόντα λογικὴν, καθὼς Μωυσῆς ἐξέθετο.*

1096) Vergleiche den 1. Theil, Note 201.

1097) 1. Theil, Note 259 — 261 incl.

1098) Aristot. de anim. I, 5; p. 485 B.: *Τοῦτο πέπονθε καὶ ὁ ἐν τοῖς Ὀρφικοῖς καλουμένοις ἔπεσι λόγος. φησὶ γὰρ τὴν ψυχὴν ἐκ τοῦ ὅλου εἰςιέναι ἀναπνεόντων φερομένην ὑπὸ τῶν ἀνέμων.* Dieselbe Nachricht gibt auch Stobaeus Ecl. phys. I, 52, p. 868: *Τινὲς τὴν ψυχὴν ἀπὸ τοῦ ἀναψύχεσθαι ὑπὸ τοῦ ψυχροῦ ὠνομάσθαι ἀποφαίνονται καὶ τὸν ἀναπνεόμενον ἀέρα ψυχὴν νομίζουσιν, ὥσπερ Ἀριστοτέλης παρὰ Ὀρφέως ἐν τοῖς φυσικοῖς ἔπεσι λέγεσθαι τὴν ψυχὴν εἰςιέναι ἐκ τοῦ ὅλου ἀναπνεόντων ἡμῶν φερομένην ὑπὸ τῶν ἀνέμων.* Dieser Abschnitt des orphischen Gedichtes über die Entstehung des Menschengeschlechtes hatte also den besondern Titel *τὰ φυσικὰ*, wie auch in den homerischen Gedichten die einzelnen Abschnitte bei den Alten besondere Namen hatten. Sogar die Pförtner und Vorsteher der Himmelsthüren, welche den Seelen bei ihrem Herabsteigen auf die Erde die Pforten der verschiedenen Planetenfirmamente öffneten, die sie durchzupassiren hatten, wurden im orphischen Gedichte namhaft gemacht; ein neuer Beweis, wie genau es sich an den ägyptischen Glaubenskreis anschloss, der diese Himmelspförtner als besondere Genien ebenfalls kennt; Suidas s. v. *Τριτοπάτορες: Ἐν δὲ τῷ Ὀρφέως Φυσικῷ ὀνομάζεσθαι τοὺς Τριτοπάτορας Ἀμαλκείδην καὶ Πρωτοκλέα καὶ Πρωτοκλέοντα θυρωροὺς καὶ φύλακας ὄντας τῶν ἀνέμων.* Da nun durch die Winde die Seelen, welche geboren werden sollen, vom Himmel

heruntergetragen werden, so begreift es sich, wesshalb in Athen die Brautleute um Kinder zu bekommen den Tritopatores opfern; Suidas l. l: *Φανόδημος δὲ, ὅτι μόνοι οἱ Ἀθηναῖοι θύουσι καὶ εὔχονται αὐτοῖς ὑπὲρ γενέσεως παίδων, ὅταν μέλλωσι γαμεῖν.*

1099) Procl. in Cratyl. p. 59: *Μόνος ὁ Κρόνος ἀφαιρεῖται τὸν Οὐρανὸν τὴν βασιλείαν τελέως καὶ τῷ Διὶ παραχωρεῖ τῆς ἡγεμονίας τέμνων τε καὶ τεμνόμενος.*

1100) Syrian bei Lobeck Aglaopham. p. 577: *Τὸν δὲ Δία οὐ πρῶτον ἀλλὰ πέμπτον βασιλέα σαφῶς ὀνομάζουσιν οἱ παρὰ τῆς Νυκτὸς δοθέντες χρησμοί* (in der Kataposis)

Ἀθάνατον βασιλῆα θεῶν πέμπτον τε γενέσθαι.

Die Unsterblichkeit kann natürlich nicht auf Zeus selbst sich beziehen, sondern nur auf seine ewig dauernde Herrschaft, welche das orphische Gedicht lehrt. Denn Zeus selbst ist natürlich nicht mehr und nicht weniger unsterblich, als alle anderen Götter auch.

1101) Justin. contra Tryph. p. 295: *Τὸν Διόνυσον υἱὸν τοῦ Διὸς ἐκ μίξεως, ἣν μεμίχθαι αὐτὸν τῇ Σεμέλῃ, γεγενῆσθαι λέγουσι, καὶ τοῦτον εὑρέτην ἀμπέλου γενόμενον καὶ διασπαραχθέντα καὶ ἀποθανόντα ἀναστῆναι εἰς οὐρανόν τε ἀνεληλυθέναι ἱστοροῦσι. Καὶ οἶνον ἐν τοῖς μυστηρίοις αὐτοῦ παραφέρουσι.* Dionysos heisst daher auch geradezu *Οἶνος*, Wein: Proclus in Alcibiad p. 114: *Τὸν Διόνυσον οἱ θεολόγοι πολλάκις καὶ ἀπὸ τῶν τελεωτάτων αὐτοῦ δώρων Οἶνον καλοῦσιν, οἷον Ὀρφεύς*

Οἴνου δ' ἀντὶ μιῆς τριπλῆν μετὰ ῥίζαν ἔθεντο.

καὶ πάλιν

Οἴνου πάντα μέλη κόσμῳ λάβε καί μοι ἔνεικε

καὶ αὖθις

Οἴνῳ ἀγαιομένη κουρῷ Διὸς (*πότνια Ἥρη*).

1102) Procl. in Cratyl. p. 96: *Τὴν Δήμητρα Ὀρφεὺς μὲν τὴν αὐτὴν λέγων τῇ Ῥέᾳ εἶναι λέγει, ὅτι ἄνωθεν μὲν μετὰ Κρόνου οὖσα ἀνεκφοίτητος Ῥέα ἐστὶ, προβάλλουσα δὲ καὶ ἀπογεννῶσα τὸν Δία Δημήτηρ· λέγει γὰρ*

Ῥείην τὸ πρὶν ἐοῦσαν ἐπεὶ Διὸς ἔπλετο μήτηρ
Γέγονε Δημήτηρ.

1103) Procl. in Theol. V, 35, 322: *Τίς οὐκ οἶδε τῶν καὶ σμικρὰ τῆς Ἑλληνικῆς θεοσοφίας ἀκηκοότων ἔν τε ταῖς ἀῤῥήτοις αὐτῶν τελεταῖς καὶ ταῖς ἄλλαις περὶ θεῶν πραγματείαις τὴν τῶν*

Κουρήτων τάξιν ὑμνουμένην; αὐτοὶ γοῦν τὴν Ῥέαν λέγονται φρουρεῖν καὶ τὸν τῶν ὅλων δημιουργὸν (i. e. *Δία*), *καὶ μέχρι τῶν αἰτίων τῆς μεριστῆς ζωογονίας προϊόντες τήν τε Κόρην καὶ τὸν Διόνυσον φυλάττειν.*

1104) Athenagor. c. 20, p. 292: *Κρόνος ἐξέτεμε μὲν τὰ αἰδοῖα τοῦ πατρὸς καὶ κατέρριψεν ἀπὸ τοῦ ἅρματος, καὶ ἐτεκνοτόνει καταπίνων τῶν παίδων τοὺς ἄρρενας;* nach Clem. Rom. Recogn. c. XIX, Hades, Poseidon und Zeus, als der jüngste der drei Brüder.

1105) Schol. ad Lycophr. 399. *Δίσκον τὸν Δία λέγει διὰ τὸν λίθον τὸν ἀντὶ Διὸς ὑπὸ Κρόνου καταποθέντα, ὥς φησιν Ἡσίοδος ἐν τῇ Θεογονίᾳ τὴν Ὀρφέως ὑποκλέψας καὶ παραφθείρας θεογονίαν.*

1106) Hermias in Phaedr. p. 148: *Ἡ Ἀδράστεια μία ἐστὶ θεὸς τῶν μενόντων ἐν τῇ Νυκτὶ, γενομένη ἐκ Μελίσσου καὶ Ἀμαλθείας, ἀδελφὴ τῆς Εἴδης*

Εἴδη τ' εὐειδὴς καὶ ὁμόσπορος Ἀδράστεια

ἥ καὶ πρὸ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται τοῖς κυμβάλοις

— — παλάμῃσι δὲ χάλκεα ῥόπτρα

δῶκεν Ἀδραστείῃ.

Ἔνδον μὲν γὰρ ἐν τῷ ἀδύτῳ τῆς Νυκτὸς κάθηται ὁ Φάνης, ἐν μέσῳ δὲ ἡ Νὺξ μαντεύουσα τοῖς θεοῖς, Ἀδράστεια δὲ ἐν τοῖς προθύροις, διαφέρει δὲ τῆς ἐκεῖ Δίκης· ἡ μὲν γὰρ ἐκεῖ Δίκη θυγάτηρ λέγεται τοῦ ἐκεῖ Νόμου καὶ Εὐσεβείας, αὕτη δὲ ἡ Ἀδράστεια ἐκ Μελίσσου καὶ Ἀμαλθείας οὖσα περιεκτική (beschützend, bewachend) *ἐστι καὶ τοῦ Νόμου. Αὗται δὲ τρέφειν λέγονται τὸν Δία ἐν τῷ ἄντρῳ τῆς Νυκτὸς, ἀντικρὺς τοῦτο τοῦ Θεολόγου λέγοντος.* Proclus in Tim. V, p. 323: *Ὁ δημιουργὸς, ὡς ὁ Ὀρφεὺς φησι, τρέφεται μὲν ὑπὸ τῆς Ἀδραστείας, σύνεστι δὲ καὶ τῇ Ἀνάγκῃ, γεννᾷ δὲ τὴν Εἱμαρμένην* (dies ist offenbar falsch und beruht auf der Verwechslung des Kroniden Zeus mit Zeus der Urgottheit, dem Urgeiste). Idem in Theol. IV, 16, 206: *παρ' Ὀρφεῖ φρουρεῖν λέγεται ἡ Ἀδράστεια τὸν τῶν ὅλων δημιουργὸν καὶ*

χάλκεα ῥόπτρα λαβοῦσα καὶ τύμπανα ἠχήεντα

οὕτως ἠχεῖν, ὥστε πάντας ἐπιστρέφειν εἰς αὐτὴν τοὺς θεούς.

1107) Proclus in Theol. V, 3 p. 253: *Ὀρφεὺς τοὺς Κουρῆτας φύλακας τῷ Διὶ παρίστησι τρεῖς ὄντας, καὶ οἱ θεσμοὶ τῶν Κρητῶν καὶ ἡ Ἑλληνικὴ πᾶσα θεολογία τὴν καθαρὸν καὶ ἄχραντον*

ζωὴν εἰς τὴν τάξιν ταύτην ἀναπέμπουσιν· οὐδὲν γὰρ ἄλλο τὸ κόρον ἢ τὸ καθαρόν.

1108) Porphyr. de antr. Nymph. c. 16: Παρὰ τῷ Ὀρφεῖ ὁ Κρόνος μέλιτι ὑπὸ Διὸς ἐνεδρεύεται· πλησθεὶς γὰρ μέλιτος μεθύει καὶ σκοτοῦται ὡς ὑπὸ οἴνου καὶ ὑπνοῖ· φησὶ γὰρ παρ' Ὀρφεῖ ἡ Νὺξ τῷ Διὶ ὑποτιθεμένη τὸν διὰ τοῦ μέλιτος δόλον

Εὖτ' ἂν δή μιν ἴδηαι ὑπὸ δρυσὶν ὑψικόμοισιν
Ἔργοισιν μεθύοντα μελισσάων ἐριβόμβων
Αὐτίκα μιν δῆσον,

ὃ καὶ πάσχει ὁ Κρόνος καὶ δεθεὶς ἐκτέμνεται, ὡς Οὐρανός. Znr nämlichen Scene gehört ein anderes Fragment bei Clemens (Strom. VI, 751.) Ἐν τῇ Θεογονίᾳ ἐπὶ τοῦ Κρόνου Ὀρφεῖ πεποίηται

Κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα· καδ' δέ μιν ὕπνος
Ἥιρει παιδαμάτωρ·

ταῦτα δὲ Ὅμηρος ἐπὶ τοῦ Κύκλωπος μετέθηκεν (Odyss. IX, 371.) Dass vielmehr der umgekehrte Fall vorliegt, und dass Pythagoras diese und ähnliche Züge aus dem Homer entlehnte und in seine Darstellung verwob, ist klar. Eben so klar ist es aber auch, dass bei diesen und ähnlichen Einwebungen Pythagoras nicht vom Bestreben geleitet werden konnte, die Volkssage zu veredeln. Ganz in demselben Styl ist ein anderes Fragment bei Proclus in Polit. p. 388: (Zeus schläft bei Homer in den Armen der Hera ein, und dies thut er nach dem weisen Neuplatoniker) τὸν πατέρα ζηλῶν· καὶ γὰρ ἐκεῖνος πρώτιστος παραδέδοται τῶν θεῶν

Ἔνθα Κρόνος μὲν ἔπειτα φαγὼν δολόεσσαν ἐδωδὴν
Κεῖτο μέγα ῥέγκων·

Dieses Fragment gehört aber offenbar zu dem vorhergehenden, nnd bildet mit ihm Ein Ganzes, das etwa so zn verbinden nnd auszufüllen ist:

Ἔνθα Κρόνος μὲν ἔπειτα φαγὼν δολόεσσαν ἐδωδὴν
Κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα· καδ' δέ μιν ὕπνος
Ἥιρει πανδαμάτωρ· κεῖτ' (ἐνθάδε δὴ) μέγα ῥέγκων·

1109) Chalcidius c. 126 p. 326: Exponit (Plato, Tim. p. 41) ea, quae Orpheus, Linus et Musaeus de divinis potestatibus vaticinati sunt, non quo delectaretur aut crederet, sed qnod tanta esset auctoritas vaticinantium, ut iis parcins credi non oporteret.

1110) Proclns in Theol. V, 10, 264: Τὸ ἀγήρων ταύτῃ τῇ τάξει (τῇ Κρονίᾳ) προσήκει, ὡς οἵ τε βάρβαροι φασι καὶ ὁ Ὀρφεύς.

Καὶ γὰρ οὗτος ἀεὶ μελαίνας τὰς τοῦ Κρονίου προςώπου τρίχας μυστικῶς λέγει καὶ μηδαμῶς γίγνεσθαι πολιάς. — — — *ὁ Ὀρφεὺς τὰ τούτοις ὅμοια περὶ τοῦ θεοῦ τούτου διατάττεται* (nach Herrmann's Emendation und Ergänzung)

— — — — *ὑπὸ Ζηνὶ Κρονίωνι*
Ἀθάνατον αἰῶνα λαχεῖν (statt *καμεῖν*) *καθαροῖο γενείου*
(*Καὶ*) *διερὰς χαίτας εὐώδεας, οὐδέ* (*τι τόιγε*
Γήραος) *ἠπεδανοῖο μιγήμεναι ἄνθει λευκῷ,*
Ἀλλὰ (*περὶ κροτάφοισιν ἔχειν*) *ἐριθηλέα λάχνην.*

1111) Proclus in Tim. II, 137: *Ὁ μέγιστος Ζεὺς συζυγεῖ τῇ Ἥρᾳ· διὸ καὶ ἰσοτελὴς αὐτῷ καλεῖται καὶ ἐκ τῶν αὐτῶν πρόεισι πατέρων.*

1112) Proclus in Parm. II, 214: *Οἱ θεολόγοι ταῦτα αἰνίσσονται διὰ τῶν ἱερῶν γάμων. ἁπλῶς μὲν γὰρ τὴν κοινωνίαν τῶν θείων αἰτίων μυστικῶς γάμον προςαγορεύουσι· ταύτην δὲ ποτὲ μὲν ἐν τοῖς συστοίχοις ὁρῶσι καὶ καλοῦσι γάμον Ἥρας καὶ Διός, Οὐρανοῦ καὶ Γῆς, Κρόνου καὶ Ῥέας, ποτὲ δὲ τῶν καταδεεστέρων πρὸς τὰ κρείττονα, καὶ καλοῦσι γάμον Διὸς καὶ Δήμητρος, ποτὲ δὲ ἔμπαλιν τῶν κρειττόνων πρὸς τὰ ὑφειμένα καὶ καλοῦσι Διὸς καὶ Κόρης γάμον.* Dio Chrysostom. 36, 453: *Τοῦτον ὑμνοῦσι παῖδες σοφῶν ἐν ἀῤῥήτοις τελεταῖς Ἥρας καὶ Διὸς εὐδαίμονα γάμον.*

1113) Lactant. Instit. I, 17: Nobilissimum templum Junonis est Sami et simulacrum in habitu nubentis figuratum, et sacra ejus anniversaria nuptiarum ritu celebrantur. Eben so bei den Gnosiern Diodor. Sic. V, 72.

1114) Clement. Homil. V, 18, 667: *Χρύσιππος ἐν ταῖς ἐρωτικαῖς ἐπιστολαῖς καὶ τῆς ἐν Ἄργει εἰκόνος μέμνηται πρὸς τῷ τοῦ Διὸς αἰδοίῳ φέρων τῆς Ἥρας τὸ πρόσωπον.* Origin. contr. Cels. IV, 48, 540: *Χρύσιππος παρερμηνεύει γραφὴν τὴν ἐν Σάμῳ, ἐν ῇ ἀῤῥητοποιοῦσα ἡ Ἥρα τὸν Δία ἐγέγραπτο· λέγει γὰρ ἐν τοῖς αὐτοῦ συγγράμμασιν ὅτι τοὺς σπερματικοὺς λόγους τοῦ θεοῦ ἡ ὕλη παραδεξαμένη ἔχει ἐν ἑαυτῇ εἰς κατακόσμησιν τῶν ὅλων. Ὕλη γὰρ ἡ ἐν τῇ κατὰ τὴν Σάμον γραφῇ ἡ Ἥρα καὶ ὁ θεὸς ὁ Ζεύς.* Diogen. Laert. *Χρύσιππος ἐν τῷ περὶ ἀρχαίων φυσιολόγων αἰσχρῶς τὰ περὶ τὴν Ἥραν καὶ τὸν Δία ἀναπλάττει.* Es läuft demnach zwar Alles auf das Zeugniss des Chrysippos hinaus, das scheint aber doch kein Grund zu sein, die Angabe zu bezweifeln.

1115) Diese Darstellnng des ἱερὸς γάμος des Zeus und der Hera scheint ausführlich gewesen zu sein, denn sie wird bei Eustathius zu Dionys. Perieg. v. 1 als ein besonderer Abschnitt des orphischen Gedichtes citirt: Ὀρφεὺς ἐν τῷ περὶ Διὸς καὶ Ἥρας, obgleich das unter diesem Citate angeführte Fragment, welches vom Okeanos handelt:

Κύκλον τ' ἀκαμάτου καλλιῤῥόου Ὠκεανοῖο,
Ὃς γαῖαν δίνῃσι πέριξ ἔχει ἀμφιελίξας

eher einem andern Abschnitte des orphischen Gedichtes anzugehören scheint, dem ἱερὸς γάμος des Zeus und der Persephone; denn ein alter Scholiast desselben Dionysius (zu v. 3) führt dieselben Verse an unter dem Citate: Ὀρφεὺς ἐν τῷ περὶ Διὸς καὶ Κόρης. Das orphische Gedicht verlegt aber die Sage von der Persephone wirklich nach Aegypten an den Okeanos und schildert die Persephone in ihrer Hieroglyphenform, wodurch diese letztere Angabe allerdings wahrscheinlicher wird; während das Lokal für die Vermählung des Zeus und der Hera weit natürlicher in Griechenland vorauszusetzen ist, z. B. nach Homer, in Kreta auf dem Ida. Pythagoras scheint bei dieser Darstellung des ἱερὸς γάμος der Hera und des Zeus den Mythen seiner Heimath Samos gefolgt zu sein, — Samos war ja einer der Hauptsitze des Herakultes und der Samische Heratempel war nach Herodot der prächtigste und grösste des Alterthums, — denn jene oben berührte anstössige Scene eines Bildes im Samischen Heratempel scheint auch mit unverhüllter Nacktheit im orphischen Gedichte vorgekommen zu sein, eine für den griechischen Glaubenskreis nicht sehr schmeichelhafte Treue. Dies muss man wenigstens aus einer Stelle im Proömium des Diogenes Laertius s. 5. schliessen, der, weil er den Orpheus für den Verfasser des orphischen Gedichtes hält, sich über ihn so auslässt: Ἐγὼ δὲ, εἰ καὶ τὸν περὶ θεῶν ἐξαγορεύσαντα τοιαῦτα χρὴ φιλόσοφον καλεῖν, οὐκ οἶδα. τίνα γὰρ δεῖ προσαγορεύειν τὸν πᾶν τὸ ἀνθρώπινον πάθος ἀφειδοῦντα τοῖς θεοῖς προστρῖψαι καὶ τὰ σπανίως ὑπό τινων ἀνθρώπων αἰσχρουργούμενα (καὶ τῷ τῆς φωνῆς ὀργάνῳ); wenn auch die letzten eingeklammerten Worte nach des Casaubonus richtiger Bemerkung ein blosses Glossem und späterer Zusatz zu sein scheinen: maxime probabile videtur, sagt Casaubon, Laertium αἰσχρουργούμενα tantum scripsisse; quae sequuntur autem merum esse glossema.

1116) Proclus in Crat. p. 116: Τὴν δὲ δευτέραν Ἀφροδίτην

παράγει μὲν ὁ Ζεὺς ἐκ τῶν ἑαυτοῦ γεννητικῶν δυνάμεων, συμπαράγει δ'αὐτῷ ἡ Διώνη, πρόεισι δ'ἡ θεὸς ἐκ τοῦ ἀφροῦ κατὰ τὸν αὐτὸν τῇ πρεσβυτέρᾳ τρόπον. λέγει δ' οὕτως ὁ Θεολόγος

Τὸν δὲ πόθος πλέον εἷλ', ἀπὸ δ'ἔκθορε πατρὶ μεγίστῳ
Αἰδοίων ἀφροῖο γονὴ, ὑπέδεκτο δὲ πόντος
Σπέρμα Διὸς μεγάλου· περιτελλομένου δ'ἐνιαυτοῦ
Ὥραις καλλιφύτοις τέκ' ἐγερσιγέλωτ' Ἀφροδίτην.

1117) Auch diese anstössige Sage wurzelt im Kulte, Clement. Alex. Protrept. p. 13: *Δηοῦς μυστήρια αἱ Διὸς πρὸς μητέρα Δήμητρα ἀφροδίσιοι συμπλοκαὶ καὶ μῆνις οὐκ οἶδ' ὅτι φῶ λοιπὸν μητρὸς ἢ γυναικὸς, τῆς Δηοῦς, ἧς δὴ χάριν Βριμὼ προσαγορευθῆναι λέγεται, καὶ ἱκετηρίαι Διὸς καὶ πόμα χολῆς καὶ καρδιουλκίαι καὶ ἀῤῥητουργίαι.* Dass aber die Sage in derselben Form bei Orpheus, d. h. im orphischen Gedichte vorkam, erhellt aus Athenagoras c. 20, p. 292, wo er den Inhalt der orphischen Theogonie durchgeht: *Ζεὺς δὲ ..... καὶ τὴν μητέρα Ῥέαν* (dass die Rhea mit der Demeter im orphischen Gedichte identisch ist, haben wir früher, Note 1102, schon gesehen) *ἀπαγορεύουσαν αὐτοῦ τὸν γάμον ἐδίωκε· δρακαίνης δὲ αὐτῆς γενομένης καὶ αὐτὸς εἰς δράκοντα μεταβαλὼν συνδήσας αὐτὴν ἐμίγη.* Und c. 32: *Χρὴν δ'αὐτοὺς ἢ τὸν Δία μεμισηκέναι τὸν ἐκ μητρὸς μὲν Ῥέας, θυγατρὸς δὲ Κόρης παιδοποιησάμενον ἢ τὸν τούτων ποιητὴν Ὀρφέα.*

1118) Wie Pausanias die Sage aus dem Munde der Phigalenser hörte, wo dieser *ἱερὸς γάμος* des Poseidon und der Demeter gefeiert wurde; Pausan. VIII, 42, 1 sqq. Beide Sagen sind Umbildungen der ägyptischen Sage von Seth und Netpe, die Herodot erzählt.

1119) Athenagor. c. XX, p. 292: *Καὶ τὴν θυγατέρα τοῦ Διὸς, ἣν ἐκ τῆς Ῥέας ἢ Δήμητρος αὐτῆς ἐπαιδοποιήσατο, δύο μὲν κατὰ φύσιν εἶπον ἔχειν ὀφθαλμοὺς, καὶ ἐπὶ τῷ μετώπῳ δύο, καὶ προτομὴν κατὰ τὸ ὄπισθεν τοῦ τραχήλου· ἔχειν δὲ καὶ κέρατα* (das ist also ein im orphischen Gedichte geschildertes Hieroglyphenbild der Persephone, in demselben Style, wie wir nun schon mehrere kennen lernten.) *Διὸ καὶ τὴν Ῥέαν φοβηθεῖσαν τὸ τέρας φυγεῖν, οὐκ ἐφεῖσαν αὐτῇ τὴν θηλήν. Ἔνθεν μυστικῶς μὲν Ἀθηλᾶ, κοινῶς δὲ Φερσεφόνη καὶ Κόρη κέκληται.*

1120) Athenagor. l. c. *Εἶτα Φερσεφόνῃ τῇ θυγατρὶ ἐμίγη βιασάμενος καὶ αὐτὴν ἐν δράκοντος σχήματι.*

1121) Tatian. contr. Graec. VIII, p. 251: *Ζεὺς θυγατρὶ συγγίνεται καὶ ἡ θυγάτηρ ἀπ' αὐτοῦ κύει· μαρτυρήσει μοι Ἐλευσὶς καὶ δράκων ὁ μυστικὸς καὶ Ὀρφεύς.* Etymol. magn. p. 213: *Ζαγρεὺς ὁ Διόνυσος παρὰ τοῖς ποιηταῖς· δοκεῖ γὰρ ὁ Ζεὺς μιγῆναι τῇ Περσεφόνῃ, ἐξ ἧς ὁ χθόνιος Διόνυσος.*

1122) Proclus in Tim. I, 51: *Ὀρφεύς φησιν ὅτι αὐτὴν ὁ Ζεὺς ἀπεγέννησεν ἐκ τῆς κεφαλῆς*

Ὅπλοις λαμπομένην χαλκήιον ἄνθος ἰδέσθαι.

ibid. p. 52. *λέγει ὁ Θεολόγος ὅτι παρήγαγεν αὐτὴν ὁ πατήρ*

Ὄφρ' αὐτῷ μεγάλων ἔργων κράντειρα γένοιτο.

Idem in Polit. p. 377:

Δεινὴ γὰρ Κρονίδαο νόου κράντειρα τέτυκται.

1123) Proclus in Theol. VI, 13, 382: *Ἀνάλογον τοῖς ἐκεῖ Κουρῆσι ἡ τῶν Κορυβάντων τάξις, προβαίνουσα σὺν τῇ Κόρῃ καὶ φρουροῦσα αὐτήν, ὥς φησιν ἡ θεολογία* (das orphische Gedicht). Idem in Crat. p. 62: *Τῆς Κουρητικῆς δεῖσθαι φρουρᾶς, ὥσπερ τὴν Ῥέαν καὶ τὸν Δία καὶ τὴν Κόρην.*

1124) Schol. in Theog. 914: *Ἡρπάσθαι τὴν Περσεφόνην φασὶν οἱ μὲν ἐκ Σικελίας, Βακχυλίδης δὲ ἐκ Κρήτης, Ὀρφεὺς δὲ ἐκ τῶν περὶ τὸν Ὠκεανὸν τόπων.*

1125) Clem. Alex. Protrept. p. 17: *Ἀλωμένη ἡ Δηὼ κατὰ ζήτησιν τῆς Κόρης περὶ τὴν Ἐλευσῖνα ἀποκάμνει καὶ φρέατι ἐπικαθίζει λυπουμένη — — — ᾤκουν δὲ τηνικάδε τὴν Ἐλευσῖνα οἱ γηγενεῖς Βαυβὼ καὶ Δυσαύλης καὶ Τριπτόλεμος, ἔτι δὲ Εὔμολπος καὶ Εὐβουλεύς, βουκόλος ὁ Τριπτόλεμος, ποιμὴν δὲ ὁ Εὔμολπος, συβώτης δὲ ὁ Εὐβουλεύς.*

1126) Idem l. l. *Καὶ δὴ ξενίσασα ἡ Βαυβὼ τὴν Δηὼ ὀρέγει κυκεῶνα αὐτῇ, τῆς δὲ ἀναινομένης λαβεῖν, πενθήρης γὰρ ἦν, περιαλγὴς γενομένη ἡ Βαυβώ, ὡς ὑπεροραθεῖσα δῆθεν, ἀναστέλλεται τὰ αἰδοῖα καὶ ἐπιδεικνύει τῇ θεῷ· ἡ δὲ τέρπεται τῇ ὄψει καὶ δέχεται τὸ ποτόν. Ταῦτ' ἐστι τὰ κρύφια τῶν Ἀθηναίων μυστήρια, ταῦτά τοι καὶ Ὀρφεὺς ἀναγράφει. παραθήσομαι δέ σοι αὐτὰ Ὀρφέως τὰ ἔπη*

Ὣς εἰποῦσα πέπλους ἀνεσύρατο, δεῖξέ τε πάντα
Σώματος οὐδὲ πρέποντα τύπον· παῖς δ' ἦεν Ἴακχος
Χειρά θ' ἑὴν ῥίπτεσκε γελῶν Βαυβοῦς ὑπὸ κόλποις.
Τῇ δ' ἐπὶ οὖν μείδησε θεὰ γήθουσ' ἐνὶ θυμῷ,
Δέξατο δ' αἰόλον ἄγγος, ἐν ᾧ κυκεὼν ἐνέκειτο.

(Der dritte Vers nach Gesners, der vierte nach Lobecks Emendation, wodurch wenigstens ein zusammenhängender Sinn in die Stelle kommt. Die Hauptschwierigkeit, die Lesart des griechischen Textes dieser Stelle mit der Uebersetzung des Arnobius in Uebereinstimmnng zu bringen, bleibt ungelöst, ist aber für nnsere Zwecke ohne Belang. Vgl. Lobeck Aglaoph. p. 818. sqq.)

1127) Proclus in Theol. VI, 11, 371: *Διττὴ ἡ Κορικὴ τάξις, ἡ μὲν ὑπὲρ τὸν κόσμον, ὅθι συνάπτεται τῷ Διὶ καὶ μετ' ἐκεῖνον τὸν δημιουργὸν τῶν μεριστῶν* (i. e. Dionysum) *ὑφίστησι· δευτέρα δὲ, ἣ δὴ ὑπὸ τοῦ Πλούτωνος ἁρπάζεσθαι λέγεται καὶ ψυχοῦν τὰ ἔσχατα τοῦ παντός. — — — Καὶ γὰρ ἡ τῶν θεολόγων φήμη τῶν τὰς ἁγιωτάτας ἡμῖν ἐν Ἐλευσῖνι τελετὰς παραδεδωκότων ἄνω μὲν αὐτὴν ἐν τοῖς μητρὸς οἴκοις μένειν φησὶν, οὓς ἡ μήτηρ αὐτὴ κατεσκεύασεν ἐν ἀβάτοις, — κάτω δὲ μετὰ Πλούτωνος τῶν Χθονίων ἐπάρχειν.*

1128) Proclus in Crat. p. 59: *Ὁ πατὴρ (Ζεὺς) ἱδρύει αὐτὸν (τὸν Διόνυσον) ἐν τῷ βασιλείῳ θρόνῳ καὶ ἐγχειρίζει τὸ σκῆπτρον καὶ βασιλέα ποιεῖ τῶν ἐγκοσμίων ἁπάντων θεῶν*

Κλῦτε θεοὶ, τόνδ' ὔμμιν ἐγὼ βασιλῆα τίθημι,

λέγει πρὸς τοὺς νέους θεοὺς ὁ Ζεύς. Idem in Tim. V, 334: *ὁ Ζεὺς βασιλέα τίθησιν αὐτὸν ἁπάντων τῶν ἐγκοσμίων θεῶν καὶ πρωτίστας αὐτῷ νέμει τιμάς*

Καίπερ ἐόντι νέῳ καὶ νηπίῳ εἰλαπιναστῇ.

1129) Proclus in Alcib. p. 114: *Καὶ αὖθις*

Οἴνῳ ἀγαιομένη κούρῳ Διὸς (πότνια Ἥρη).

Vgl. die Note 1101.

1130) Proclus in Alcib. p. 83: *Ὀρφεὺς ἐφίστησι τῷ βασιλεῖ Διονύσῳ τὴν μονάδα τὴν Ἀπολλωνιακὴν ἀποτρέπουσαν αὐτὸν τῆς εἰς τὸ Τιτανικὸν πλῆθος προόδου καὶ τῆς ἐξαναστάσεως τοῦ βασιλείου θρόνου.*

1131) Proclus in Crat. p. 118: *Τὴν εὔρυθμον χορείαν ὑποφαίνει (Ἀθηνᾶ), ἧς καὶ μετέδωκε τῇ Κουρητικῇ τάξει. ἐστὶ γὰρ ἡ θεὸς ἡγεμὼν τῶν Κουρήτων, ὥς φησιν Ὀρφεύς.*

1132) Clem. Alex. Protrept. p. 11: *Τὰ μυστήρια τοῦ Διονύσου τελέως ἀπάνθρωπα· ὃν εἰςέτι παῖδα ὄντα, ἐνόπλῳ κινήσει περιχορευόντων Κουρήτων δόλῳ δὲ ὑποδύντων Τιτάνων, ἀπατήσαντες παιδαριώδεσιν ἀθύρμασιν οὗτοι δὴ οἱ Τιτᾶνες διέσπασαν, ὡς ὁ τῆς τελετῆς ποιητὴς Ὀρφεύς φησι*

Κῶνος καὶ ῥόμβος καὶ παίγνια καμπεσίγυια
Μῆλά τε χρύσεα καλὰ παρ' Ἑσπερίδων λιγυφώνων.

Καὶ τῆσδε τῆς τελετῆς σύμβολα ἀστράγαλος, στρόβιλος, σφαῖρα, μῆλα, ῥόμβος, ἔσοπτρον, πόκος.

1133) Clem. Alex. l. l. *Οἱ Τιτᾶνες διασπάσαντες αὐτὸν λέβητά τινα τρίποδι ἐπιθέντες καὶ τοῦ Διονύσου ἐμβάλλοντες τὰ μέλη καθήψουν πρότερον εἶτα ὀβελίσκοις περιπείραντες*

— — — ὑπείρεχον Ἡφαίστοιο.

Ζεὺς δὲ ὕστερον ἐπιφανεὶς κεραυνῷ τοὺς Τιτᾶνας αἰκίζεται, καὶ τὰ μέλη τοῦ Διονύσου τῷ Ἀπόλλωνι παρακατατίθεται καταθάψαι· ὁ δὲ εἰς τὸν Παρνασὸν κατατίθεται. Proclus in Crat. p. 115: *Ἐν τῇ διασπαράξει τῶν Τιτάνων μόνη ἡ καρδία ἀδιαίρετος μεῖναι λέγεται, τουτέστιν ἡ ἀμέριστος τοῦ νοῦ οὐσία.* Idem in Tim. III, p. 184: *Τὰ ἄλλα δημιουργήματα αὐτοῦ πάντα μεμερίσθαι φησὶν ὑπὸ τῶν διαιρετικῶν θεῶν, μόνην δὲ τὴν καρδίαν ἀμέριστον εἶναι προνοίᾳ τῆς Ἀθηνᾶς*

Μούνην γὰρ κραδίην νοερὴν λίπον

φησί. Τὸ δὲ λοιπὸν τοῦ θεοῦ πᾶν, τὴν ψυχικὴν σύστασιν, εἰς ἑπτὰ καὶ τοῦτο διῃρημένον

Ἑπτὰ δὲ πάντα μέρη κούρου διεμοιρήσαντο,

φησὶν ὁ Θεολόγος περὶ τῶν Τιτάνων.

1134) Proclus in Crat. p. 112: *Τὴν Ἄρτεμιν Ἑκάτην Ὀρφεὺς κέκληκεν*

Ἡ δ' ἄρα δι' Ἑκάτη παιδὸς μέλη αὖθι λιποῦσα
Λητοῦς εὐπλοκάμοιο κόρη προσεβήσατ' Ὄλυμπον.

1135) Clem. Alex. l. l. *Ἀθηνᾶ μὲν οὖν τὴν καρδίαν τοῦ Διονύσου ὑφελομένη Παλλὰς ἐκ τοῦ πάλλειν τὴν καρδίαν προσηγορεύθη.* Cf. Procl. in Alcib. p. 44: *Ἀθηναϊκὸν τὸ σώζειν ἀμέριστον τὴν ζωήν, ἐξ οὗπερ Σώτειρα ἐπεκλήθη Παλλὰς Ἀθήνη, Τιτανικὸν δὲ τὸ μερίζειν αὐτὴν καὶ προκαλεῖσθαι πρὸς τὴν γένεσιν.*

1136) Proclns in Tim. I, 53: *Οἱ Θεολόγοι μετὰ τὸν τοῦ Διονύσου διασπασμὸν τοὺς μὲν ἄλλους Τιτᾶνας ἄλλας λήξεις διακεκληρῶσθαί φασιν, τὸν δὲ Ἄτλαντα ἐν τοῖς πρὸς ἑσπέραν τόποις ἀνέχοντα τὸν οὐρανόν*

Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης
Πείρασιν ἐν γαίης.

Idem in Polit. p. 375: (*Αἰνίττεται*) *τὸν πρὸς Δία πόλεμον* (*τῶν Τιτάνων*) *καὶ τὰς καλουμένας παρὰ τοῖς Ὀρφικοῖς καταταρτα-*

ρώσεις. Idem in Tim. p. 58: *Ἀναμνήσαντες ἡμᾶς τῶν παρὰ τῷ Ὀρφεῖ λεγομένων πρὸς τῷ πέρατι τῆς δημιουργίας καταταρταρώσεων.* Olympiodor. in Phaedon. (Mustoxides et Schinas in Anecd. p. IV,) p. 4: *Τὸν Δία διεδέξατο ὁ Διόνυσος, ὅν φασι κατ' ἐπιβουλὴν τῆς Ἥρας τοὺς Τιτᾶνας σπαράττειν καὶ τῶν σαρκῶν αὐτοῦ ἀπογεύεσθαι, καὶ τούτους ὁ Ζεὺς ἐκεραύνωσε καὶ ἐκ τῆς αἰθάλης τῶν ἀτμῶν τῶν ἀναδοθέντων ἐξ αὐτῶν ὕλης γενομένης γενέσθαι τοὺς ἀνθρώπους. Οὐ δεῖ οὖν ἐξάγειν ἡμᾶς αὐτοὺς, ὡς τοῦ σώματος ἡμῶν Διονυσιακοῦ ὄντος, εἴγε ἐκ τῆς αἰθάλης τῶν Τιτάνων συγκείμεθα, γευσαμένων τῶν σαρκῶν τούτου.* Vgl. die Noten 1087 und 1088.

1137) Plutarch. de Isid. et Osir. c. 35: *Δελφοὶ τὰ τοῦ Διονύσου λείψανα παρ' αὐτοῖς παρὰ τὸ χρηστήριον ἀποκεῖσθαι νομίζουσιν.*

1138) Procli Hymn. in Minerv. (Lobeck. Aglaoph. 561)

Ἣ κραδίην ἐσάωσας ἀμιστύλλευτον ἄνακτος
Αἰθέρος ἐν γυάλοισι μεριζομένου ποτὲ Βάκχου
Τιτήνων ὑπὸ χερσὶ, πόρες δέ ἑ πατρὶ φέρουσα
Ὄφρα νέος βουλῇσιν ὑπ' ἀῤῥήτοισι τοκῆος
Ἐκ Σεμέλης κατὰ κόσμον ἀνηβήσῃ Διόνυσος.

1139) Hygin. fab. CLXVIII, 238: Liber, Jovis et Proserpinae filius, a Titanibus est distractus, cujus cor contritum Jovis Semelae in potionem dedit. Ex eo praegnans quum esset facta etc.

1140) Diodor. Sicul. IV, 4: *Διμήτορα δ'αὐτὸν προςαγορευθῆναι λέγουσι, διὰ τὸ πατρὸς μὲν ἑνὸς ὑπάρξαι τοὺς δύο Διονύσους, μητέρων δὲ δυεῖν· κεκληρονομηκέναι δὲ τὸν νεώτερον τὰς τοῦ προγενεστέρου πράξεις· διόπερ τοὺς μεταγενεστέρους ἀνθρώπους, ἀγνοοῦντας μὲν τἀληθές, πλανηθέντας δὲ διὰ τὴν ὁμωνυμίαν ἕνα γεγονέναι νομίσαι Διόνυσον.*

1141) Wie sie z. B. von Diodor III, 64, erzählt wird.

1142) Proclus in Tim. II, 124: *Ἡ Ἵππα τοῦ παντὸς οὖσα ψυχὴ παρὰ τῷ Θεολόγῳ λίκνον ἐπὶ τῆς κεφαλῆς θεμένη καὶ δράκοντι αὐτὸ περιστέψασα τὸ κράδιον, ὑποδέχεται Διόνυσον. Ὁ δὲ ἀπὸ τοῦ μηροῦ τοῦ Διὸς πρόεισιν εἰς αὐτὴν καὶ προελθὼν ἐπὶ τὸ νοητὸν ἀνάγει καὶ τὴν ἑαυτοῦ πηγήν. ἐπείγεται γὰρ πρὸς τὴν Ἴδην. Διὸ καὶ συλλαμβάνεσθαι ἡ Ἵππα λέγεται τίκτοντι τῷ Διί. — τοῦτο*

δὲ ὅμοιον τῷ παῤ Ὀρφεῖ

(Εὖ μάλα δὴ) γλυκερὸν δὲ τέκος Διὸς ἐξεκαλεῖτο.

1143) Proclus in Alcib. p. 114: *Τὸν Διόνυσον οἱ θεολόγοι Οἶνον καλοῦσιν, οἷον Ὀρφεύς*

Οἴνου δ'ἀντὶ μιῆς τριπλῆν μετὰ ῥίζαν ἔθεντο.

Daraus erklart sich also auch das Beiwort *τρίγονος* = *τριγέννητος*, das Dionysos im 30. orphischen Hymnus erhält; das in Note 1140 erwähnte Pradikat *διμήτωρ* bezieht sich nicht minder auf diese mehrfache Geburt.

1144) Plutarch. de Isid. et Osirid. c. 35.

1145) Justin. contr. Tryph. p. 295: *Τὸν Διόνυσον υἱὸν του Διὸς ἐκ μίξεως, ἣν μεμῖχθαι αὐτὸν τῇ Σεμέλῃ, γεγενῆσθαι λέγουσι, καὶ τοῦτον εὑρέτην ἀμπέλου γενόμενον καὶ διασπαραχθέντα, καὶ ἀποθανόντα ἀναστῆναι, εἰς οὐρανόν τε ἀνεληλυθέναι ἱστοροῦσι.*

1146) Cicero in Hortens. fragm. p. 60: Ex quibus humanae vitae erroribus et aerumnis fit, ut interdum veteres illi sive vates (Orpheus) sive in sacris initiisque tradendis divinae mentis interpretes (Pythagoras), qui nos ob aliqua scelera suscepta in vita superiore poenarum luendarum causa natos esse dixerunt, aliquid vidisse videantur.

1147) Plato in Crat. p. 400: *Σῆμά τινες αὐτό φασιν (τὸ σῶμα) εἶναι τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν τῷ νῦν παρόντι — — δοκοῦσι μέντοι μοι μάλιστα θέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῖτο τὸ ὄνομα ὡς δίκην διδούσης τῆς ψυχῆς, ὧν δὴ ἕνεκα δίδωσι, τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σώσηται, δεσμωτηρίου εἰκόνα.* Ebenso Philolaus bei Clem. Alex. Strom. II, 518: *Μαρτυρέονται καὶ οἱ παλαιοὶ θεολόγοι τε καὶ μάντιες* (Orpheus), *ὡς διά τινας ἁμαρτίας ἁ ψυχὰ τῷ σώματι συνέζευκται καὶ καθόπερ ἐν σάματι τέθαπται.* Jambl. Protrept. VIII, 134: *Οἱ τὰς τελετὰς λέγοντές φασι διδόναι τὴν ψυχὴν τιμωρίαν καὶ ζῆν ἡμᾶς ἐπὶ κολάσει μεγάλων ἁμαρτημάτων.*

1148) Plato in Phaed. p. 69, E: *κινδυνεύουσιν καὶ οἱ τὰς τελετὰς ἡμῖν καταστήσαντες οὐ φαυλοί τινες εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι, ὅτι, ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς ᾅδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. Εἰσὶ γὰρ δὴ, φασὶν οἱ περὶ τὰς τελετὰς, ναρθηκοφόροι μὲν πολλοὶ, βάκχοι δέ τε παῦροι.* Wozu Olympiodor (in Gesner. fragm. ined. p. 409) bemerkt: *παρῳ-*

δεῖ ἔπος Ὀρφικὸν τὸ λέγον ὅτι ὅςτις δ' ἡμῶν ἀτέλεστος, ὥςπερ ἐν βορβόρῳ κείσεται ἐν ᾅδου; und weiter: παρῳδεῖ πανταχοῦ τὰ τοῦ Ὀρφέως, διὸ καὶ στίχον αὐτοῦ φησι

Πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.

1149) Arnobius l. II, c. 16: Quodsi et illud verum est, quod in mysteriis secretioribus dicitur, in pecudes atque alias beluas ire animas improborum.

1150) Olympiodori scholion in Gesner. fragm. Orph. p. 510: Παλαιὸς λόγος Ὀρφικός τε καὶ Πυθαγόρειος ὁ πάλιν ἄγων τὰς ψυχὰς εἰς τὸ σῶμα καὶ πάλιν ἀπὸ τοῦ σώματος ἀνάγων, καὶ τοῦτο κύκλῳ πολλάκις. Diog. Laert. vit. Pyth. VIII, 14: Πρῶτόν φασι τοῦτον ἀποφῆναι τὴν ψυχὴν κύκλον ἀνάγκης ἀμείβουσαν ἄλλοτε ἄλλοις ἐνδεῖσθαι ζώοις. Dieser Kreislauf der Wiedergeburten κύκλος τῆς γενέσεως, wie er bei Procl. in Tim. I, p. 32, und in Theol. l. VI, c. 3, p. 351 genannt wird, findet sich auch in den erhaltenen orphischen Fragmenten ausdrücklich erwähnt: Proclus in Tim. V, 330: Μία σωτηρία ψυχῆς τοῦ κύκλου τῆς γενέσεως ἀπαλλάττουσα ἡ πρὸς τὸ νοερὸν εἶδος ἀναδρομὴ ἀπὸ τῆς περὶ τὴν γένεσιν πλάνης, ἧς καὶ οἱ παρ' Ὀρφεῖ τῷ Διονύσῳ καὶ τῇ Κόρῃ τελούμενοι τυχεῖν εὔχονται.

Κύκλου τ' αὖ λῆξαι καὶ ἀναπνεῦσαι κακότητος.

1151) Plat. in Republ. II, 366, A. Αἱ τελεταὶ αὖ μέγα δύνανται καὶ οἱ λύσιοι θεοί, ὡς αἱ μέγισται πόλεις λέγουσι καὶ οἱ θεῶν παῖδες καὶ προφῆται τῶν θεῶν γενόμενοι.

1152) Simplic. in Arist. de Coel. II, p. 91. b, indem er die Fabel vom Rade des Ixion allegorisirend vom Kreislauf der Wiedergeburt auslegt: προςδέδεται δὲ ὑπὸ τοῦ θεοῦ τῷ τῆς μοίρας τροχῷ καὶ τῆς γενέσεως, ὃν ἀδύνατον μεταλλάξαι κατ' Ὀρφέα, ὅτε (statt τὸν) μὴ θεοὺς ἐλεήσαντας (statt ἐλεήσαντα), οἷς ἔταξεν ὁ Ζεὺς ἀλιτήμασι (statt ἀλιταίνουσι), ποικίλλεσθαι καὶ ἐγκαλινδεῖσθαι ἀνθρωπίνας ψυχάς wie Herrmann die Worte emendirt und zu folgenden, — in der Schlusszeile noch weiter ergänzten, — Versen zusammenstellt:

Οὐδὲ μεταλλάξαι, ὅτε μὴ θεοὺς ἐκλύσαντας
Οἷσιν ἔταξε Ζεὺς ἀλιτήμασι ποικίλλεσθαι
Ψυχὰς (καὶ κύκλῳ) ἐγκαλινδεῖσθαι (κακότητος).

1153) S. die in Note 1151 von Proclus angeführte orphische Stelle.

1154) Olympiodor. ad Plat. Phaedr. c. 32 ed. Fisch. *Ὁ Διόνυσος λύσεώς ἐστιν αἴτιος, διὸ καὶ Λυσεὺς ὁ θεὸς, καὶ Ὀρφεύς φησιν*

(Σοὶ μὴν) ἄνθρωποι δὲ τελήεσσας ἑκατόμβας
Πέμψουσιν πάσῃσιν ἐν ὥραις ἀμφιέτεσσιν,
Ὄργια τ' ἐκτελέσουσι λύσιν προγόνων ἀθεμίστων
Μαιόμενοι· σὺ δὲ τοῖσιν ἔχων κράτος, οὓς κ' ἐθέλῃσθα
Λύσεις ἔκ τε πόνων χαλεπῶν καὶ ἀπείρονος οἴστρου.

Es sind also hier, wie man sieht, die Trieterien gemeint, welche, von Orpheus gestiftet, schon zur Zeit Homers allgemein gefeiert wurden; Hymn. homer. V in Bacch. v. 10:

Καὶ σοὶ ἀναστήσουσιν ἀγάλματα πόλλ' ἐνὶ νηοῖς,
Ὡς δὲ τὰ μὲν τρία σοι πάντως τριετηρίσιν αἰεὶ
Ἄνθρωποι ῥέξουσι τελήεσσας ἑκατόμβας.

1155) Procl. in Crat. p. 59 und 114.

1156) Hesych. s. v. *Λύσιοι τελεταί — ἐπεὶ καὶ Λύσιος ἐλέγετο Διόνυσος*; so Aristid. T. I, p. 586.

1157) Lycophr. Alex. v. 206:

Σωτῆρα Βάκχον τῶν πάροιθε πημάτων.

1158) Julian. Or. VII, 216: *Καὶ Πλάτωνι πολλὰ μεμυθολόγηται περὶ τῶν ἐν ᾅδου πραγμάτων θεολογοῦντι καὶ πρό γε τούτου τῷ τῆς Καλλιόπης* (i. e. *Ὀρφεῖ*).

1159) Olympiod. ad Phaed. c. 61, p. 474 ed. Fisch.: *οἱ τέτταρες ποταμοὶ τὰ τέσσαρα στοιχεῖα, ὁ μὲν Ὠκεανὸς τὸ ὕδωρ, ὁ δὲ Ἀχέρων ὁ ἀήρ, διὸ καὶ Ὀρφεὺς τὴν Ἀχερουσίαν λίμνην ἀερίαν καλεῖ.* Idem ap. Gesner. in fragm. ined. p. 410: *Ὅτι οἱ παραδιδόμενοι τέσσαρες ποταμοὶ κατὰ τὴν Ὀρφέως παράδοσιν τοῖς ὑπογείοις ἀναλογοῦσι τέσσαρσι στοιχείοις τε καὶ κέντροις κατὰ δύο ἀντιθέσεις· ὁ μὲν γὰρ Πυριφλεγέθων τῷ πυρὶ καὶ τῇ ἀνατολῇ, ὁ δὲ Κωκυτὸς τῇ γῇ καὶ δύσει, ὁ δὲ Ἀχέρων ἀέρι τε καὶ μεσημβρίᾳ· τούτους μὲν Ὀρφεὺς οὕτω διέταξεν· αὐτὸς δὲ τὸν Ὠκεανὸν τῷ ὕδατι καὶ τῇ ἄρκτῳ προσοικειοῖ.*

1160) Servius ad Aen. VI, 556: fertur ab Orpheo, quod Dii pejerantes per Stygiam paludem novem annorum spatio puniuntur in Tartaro. Idem ad v. 392: Lectum in Orpheo est, quod quando Hercules ad inferos descendit, Charon territus statim eum recepit, ob quam rem anno integro in compedibus fuit.

1161) Diodor. Sic. I, 98: *Πυθαγόραν τε τὰ κατὰ τὸν ἱερὸν λόγον, ἔτι δὲ τὴν εἰς πᾶν ζῷον τῆς ψυχῆς μεταβολὴν μαθεῖν παρ' Αἰγυπτίων.*

1162) Diod. Sicul. I, 96: *Ὀρφέα μὲν γὰρ τῶν μυστικῶν τελετῶν τὰ πλεῖστα καὶ τα περὶ τὴν Δήμητρος πλάνην ὀργιαζόμενα καὶ τὴν τῶν ἐν ᾅδου μυθοποιΐαν ἀπενέγκασθαι. Τὴν μὲν γὰρ Ὀσίριδος τελετὴν τῇ Διονύσου τὴν αὐτὴν εἶναι, τὴν δὲ τῆς Ἴσιδος τῇ τῆς Δήμητρος ὁμοιοτάτην ὑπάρχειν, τῶν ὀνομάτων μόνον ἐνηλλαγμένων τὰς δὲ τῶν ἀσεβῶν ἐν ᾅδου τιμωρίας, καὶ τοὺς τῶν εὐσεβῶν λειμῶνας καὶ τὰς παρὰ τοῖς πολλοῖς εἰδωλοποιΐας* (Schatten-Gestalten) *ἀναπεπλασμένας παρειςαγαγεῖν, μιμησάμενον τὰ περὶ τὰς ταφὰς τὰς κατ' Αἴγυπτον.*

1163) Zu Platons Worten im Phaedon p. 70 C: *παλαιὸς μέν ἐστί τις ὁ λόγος οὗτος, οὗ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι ἐκεῖ (αἱ ψυχαὶ) καὶ πάλινγε δεῦρο ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων*, macht Olympiodor die Anmerkung: *Ὅτι τὸ ζῶον καὶ τὸ τεθνεὼς ἐξ ἀλλήλων, κατασκευάζει ἐκ τῆς μαρτυρίας τῶν παλαιῶν ποιητῶν τῶν ἀπὸ Ὀρφέως, φημὶ, λέγοντος*

> *Οἱ δ' αὐτοὶ πατέρες τε καὶ υἱέες ἐν μεγάροισιν*
> *Ἠδ' ἄλοχοι σεμναὶ κεδναί τε θύγατρες (ὁμοῦ μὲν*
> *Συμβιόουσιν)*

πανταχοῦ γὰρ ὁ Πλάτων παρῳδεῖ τὰ τοῦ Ὀρφέως.

1164) Diog. Laert. VIII s. 4 und 5; Scholiast. ad Apollon. Argon. l. I, p. 30; Porphyr. V. P. s. 45; Theologum. arithm. p. 40; Aul. Gell. IV, 11; Tertullian. de anima c. 28. Hieronym. contr. Rufin. III, 470. und sonst noch mehrfache Anspielungen.

1165) Porphyr. V. P. s. 30; Jambl. de V. P. s. 65. Simplic. in Aristot. de coel. 113; Schol. in Arist. 496, C. 1; Schol. Ambros. Od. I, 371.

1166) Obgleich uns der Titel dieser Schrift nicht unmittelbar überliefert wird, so erhellt doch ihre Existenz und ihr Inhalt aus mehreren Nachrichten ohne allen Zweifel. Bei Diog. Laert. VIII, 41 wird nach Hermippus ihre Abfassung durch Pythagoras erzählt, ibid. s. 21 werden von Hieronymus in derselben geschilderte Scenen erwähnt, und aus beiden Nachrichten sieht man, dass es eine *κατάβασις εἰς ᾅδου* war: VIII, 41: *εἰςελθόντα τε εἰς τὴν ἐκκλησίαν φάσκειν ὡς ἀφῖκται ἐξ ᾅδου, καὶ δὴ καὶ ἀνεγίνωσκεν αὐτοῖς τὰ*

συμβεβηκότα; s. 21: κατελθόντα αὐτὸν (τὸν Πυθαγόραν) εἰς ᾅδου etc. s. 38 wird aus einer Komödie des Aristophon (dem Pythagoristes) eine Stelle angeführt, welche eine solche pythagoreische κατάβασις voraussetzt und verspottet:

Ἔφη τε καταβὰς εἰς διαίταν τῶν κάτω
Ἰδεῖν ἑκάστους διαφέρειν δὲ πάμπολυ
Τοὺς Πυθαγοριστὰς τῶν νεκρῶν· μόνοισι γὰρ
Τούτοισι τὸν Πλούτωνα συσσιτεῖν ἔφη
Δι' εὐσέβειαν.

Endlich werden aus der älteren pythagoreischen Schule, unter den Nachahmungen pythagoreischer Schriften, neben einem Ἱερὸς λόγος auch eine εἰς ᾅδου κατάβασις von Kerkops namhaft gemacht; Clem. Alex. Strom. I, 397: Κέρκωπος εἶναι τοῦ Πυθαγορείου τὴν εἰς ᾅδου κατάβασιν καὶ τὸν Ἱερὸν λόγον.

1167) Aul. Gell. IV. c. 11: Pythagoram vero ipsum, sicuti celebre est, Euphorbum primo se fuisse dictitasse. Ita haec remotiora sunt his, quae Clearchus et Dicaearchus memoriae tradiderunt, fuisse eum postea Pyrandrum, deinde Callicleam, deinde feminam facie pulchra meretricem, cui nomen Alce.

1168) Diog. Laert. VIII, 41: Καὶ ἄλλο τι περὶ Πυθαγόρου φησὶν ὁ Ἕρμιππος. λέγει γὰρ ὡς γενόμενος ἐν Ἰταλίᾳ κατὰ γῆς οἰκίσκον ποιῆσαι, καὶ τῇ μητρὶ ἐντείλαιτο τὰ γινόμενα εἰς δέλτον γράφειν, σημειουμένην καὶ τὸν χρόνον· ἔπειτα καθιέναι αὐτῷ, ἔστ' ἂν ἀνέλθῃ. τοῦτο ποιῆσαι τὴν μητέρα. Τὸν δὲ Πυθαγόραν μετὰ χρόνον ἀνελθεῖν ἰσχνὸν καὶ κατεσκελετευμένον. εἰςελθόντα τε εἰς τὴν ἐκκλησίαν, φάσκειν ὡς ἀφῖκται ἐξ ᾅδου· καὶ δὴ καὶ ἀνεγίνωσκεν αὐτοῖς τὰ συμβεβηκότα. Der historische Kern in dieser ungesalzenen Erzählung ist leicht herauszufinden. Die Schrift selbst wird erwähnt bei Diog. Laert. VIII s. 14: Ἀλλὰ καὶ αὐτὸς (ὁ Πυθαγόρας) ἐν τῇ γραφῇ φησι δι' ἑπτὰ καὶ διακοσίων ἐτέων ἐξ ἀΐδεω παραγεγενῆσθαι ἐς ἀνθρώπους.

1169) Diog. Laert. VIII, 21: Φησὶ δὲ Ἱερώνυμος κατελθόντα αὐτὸν εἰς ᾅδου, τὴν μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην καὶ τρίζουσαν· τὴν δὲ Ὁμήρου κρεμαμένην ἀπὸ δένδρου, καὶ ὄφεις περὶ αὐτήν, ἀνθ' ὧν εἶπε περὶ θεῶν. Κολαζομένους δὲ καὶ τοὺς μὴ θέλοντας συνεῖναι ταῖς αὑτῶν γυναιξί.

1170) Diog. Laert. VIII, 4: Τοῦτον (τὸν Πυθαγόραν) φησὶν Ἡρακλείδης ὁ Ποντικὸς περὶ αὐτοῦ τάδε λέγειν. ὡς εἴη ποτὲ γε-

γονὼς Αἰθαλίδης καὶ Ἑρμοῦ υἱὸς νομισθείη· τὸν δὲ Ἑρμῆν εἰπεῖν αὐτῷ ἑλέσθαι ὅ, τι ἂν βούληται πλὴν ἀθανασίας. αἰτήσασθαι οὖν ζῶντα καὶ τελευτῶντα μνήμην ἔχειν τῶν συμβαινόντων· ἐν μὲν οὖν τῇ ζωῇ πάντων διαμνημονεῦσαι, ἐπεὶ δὲ ἀποθάνοι τηρῆσαι τὴν αὐτὴν μνήμην. Χρόνῳ δὲ ὕστερον εἰς Εὔφορβον ἐλθεῖν καὶ ὑπὸ Μενέλεω τρωθῆναι. ὁ δὲ Εὔφορβος ἔλεγεν ὡς Αἰθαλίδης ποτὲ γεγόνοι, καὶ ὅτι παρ' Ἑρμοῦ τὸ δῶρον λάβοι, καὶ τὴν τῆς ψυχῆς περιπόλησιν, ὡς περιεπολήθη καὶ εἰς ὅσα φυτὰ καὶ ζῶα περιεγένετο καὶ ὅσα ἡ ψυχὴ ἐν τῷ Ἅιδῃ ἔπαθε, καὶ αἱ λοιπαὶ τίνα ὑπομένουσιν. Ἐπειδὴ δὲ Εὔφορβος ἀποθάνοι μεταβῆναι τὴν ψυχὴν αὐτοῦ εἰς Ἑρμότιμον, ὃς καὶ αὐτὸς πίστιν δοῦναι θέλων ἐπανῆλθεν εἰς Βραγχίδας (den Tempel des Apollo Didymäus bei Milet, denn vom Hermotimus hiess es auch, er sei vom Tode wieder auferwacht, und seine Seele habe die Gabe gehabt, den Körper zeitweise zu verlassen; s. Apollon. Dyscol. c. 3; Luc. musc. encom. c. 7; Plin. H. N. VII, 53; man sieht die Auswahl der Palingenesien war mit Sachverständniss gemacht, und dem dichterischen Zwecke soviel wie möglich entsprechend.) *καὶ εἰςελθὼν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν* (das obige Heiligthum der Branchiden), *ἐπέδειξεν ἣν Μενέλαος ἀνέθηκεν ἀσπίδα· ἔφη γὰρ αὐτὸν ὅτ' ἀπέπλευσεν ἐκ Τροίας, ἀναθεῖναι τῷ Ἀπόλλωνι τὴν ἀσπίδα, διασεσηπυῖαν ἤδη: μόνον δὲ διαμένειν τὸ ἐλεφάντινον πρόςωπον.* (Was hier von Hermotimus erzählt wird, berichtet die spätere Sage ausschmückend von Pythagoras selbst. Jambl. de V. P. s. 63 in fin.; Porphyr. V. P. s. 27; Tertullian. de anim. c. 28; so nimmt überhaupt der an den Pythagoras geknüpfte Mythenkram bei den Späteren lawinenartig immer mehr zu.) *Ἐπειδὴ δὲ Ἑρμότιμος ἀπέθανε γενέσθαι Πύῤῥον τὸν Δήλιον ἁλιέα, καὶ πάντα πάλιν μνημονεύειν. Ἐπειδὴ δὲ Πύῤῥος ἀπέθανε, γενέσθαι Πυθαγόραν, καὶ πάντων τῶν εἰρημένων μεμνῆσθαι.*

1171) Schol. ad Apollon. Argon. I, p. 30, zu den Worten *ἐπιδέδρομε λήθη: Ὅτι λέγονται οἱ τεθνηκότες λήθην τῶν γεγονότων αὐτοῖς ἐν τῇ ζωῇ λαμβάνειν. Οὗτος οὖν, φησι, καὶ τεθνηκὼς εἰς λήθην οὐκ ἔπεσεν, καὶ μετεμψυχωθεὶς κατὰ τῶν φιλοσόφων λόγοι ᾔδει τίς ἦν, διὰ τὰς Ἑρμοῦ βουλάς. Φερεκύδης δέ φησιν, ὅτι δῶρον εἶχε παρα τοῦ Ἑρμοῦ ὁ Αἰθαλίδης τὸ τὴν ψυχὴν αὐτοῦ ποτε μὲν εἰς ᾅδου, ποτὲ δὲ ἐν τοῖς ὑπὲρ τὴν γῆν τόποις εἶναι. Φασὶ δὲ τοῦτον τὸν Αἰθαλίδην οἱ Πυθαγορικοὶ, τῆς ψυχῆς οὔσης ἀφθάρτου κατὰ μὲν τοὺς Τρωϊκοὺς χρόνους ἀναβιώσαντα Εὔφορβον εἶναι τὸν Πάνθου. ἔπειτα ἐκ τούτου Πύῤῥον τὸν Κρῆτα, εἶτα Ἠλεῖόν*

τινα, οὗ τὸ ὄνομα ἀγνοεῖται· μετὰ ταῦτα αὐτὸν τὸν Πυθαγόραν. Πυθαγόρας δὲ ἐν τῷ μεταλλοιοῦσθαι τὰς ψυχὰς καὶ παρεισδύνειν εἰς ἕτερα σώματα, φησὶν, ... τὴν μνήμην αὐτῷ παρέπεσθαι τῷ κεχαρίσθαι Ἑρμῆν τῷ Αἰθαλίδῃ υἱῷ ὄντι.

1172) Schol. Ambros. Od. I, 371: *Τοῦτο κατὰ τὸν Πυθαγόρα λόγον. ἐκεῖνος γὰρ ἔφη, ὡς ἔξω γενόμενος τοῦ σωματος ἀκήκοα ἐμμελοῦς ἁρμονίας.*

1173) Wie z. B. Tertullian, der trotz seines berüchtigten: credo quia absurdum, den Unsinn einer andern Parthei durchaus nicht mit Schonung aufnahm, sich in der schon citirten Stelle de anima, I, 28 folgendermassen aussert: Quomodo credam non mentiri Pythagoram, qui mentitur ut credam? Quomodo mihi persuadebit Aethalidem et Euphorbum et Pyrrhum piscatorem et Hermotimum se retro ante Pythagoram fuisse, ut persuadeat Vivos ex mortuis effici, qui iterum se Pythagoram pejeravit? quando enim credibilius ipse ex semel ipso semel rediisset in vitam, quam totiens alius atque alius. Dieser letzte Theil der Logik ist besonders stark und überzeugend

1174) Jamblich. de V. P. s. 138: *Καὶ τοῦτό γε πάντες οἱ Πυθαγόρειοι ὁμῶς ἔχουσι πιστευτικῶς, οἷον περὶ Ἀριστaίου του Προκοννησίου, καὶ Ἀβάριδος τοῦ Ὑπερβορέου τὰ μυθολογούμενα, καὶ ὅσα ἄλλα τοιαῦτα λέγεται. πᾶσι γὰρ πιστεύουσι τοῖς τοιούτοις, πολλὰ δὲ καὶ αὐτοὶ πειρῶνται* (betrugen, lugen, von *πεῖρα* List, Betrug) Auch diese Aeusserung, obgleich natürlich nur ein Excerpt, macht sich im Kontext mitten unter Wunderlegenden und frömmelndem Unsinn im höchsten Grade komisch.

1175) Plato in Republ. II, 363, C: *Μουσαῖος δὲ τούτων νεανικώτερα τἀγαθὰ καὶ ὁ υἱὸς αὐτοῦ παρὰ θεῶν διδόασι τοῖς δικαίοις· ἐς ᾅδου γὰρ ἀγαγόντες τῷ λόγῳ καὶ κατακλίναντες καὶ ξυμπόσιον τῶν ὁσίων κατασκευάσαντες ἐστεφανωμένους ποιοῦσι τὸν ἅπαντα χρόνον ἤδη διάγειν μεθύοντας, — οἱ δὲ ἔτι τούτων μακροτέρους ἀποτείνουσι μισθοὺς παρὰ θεῶν· παῖδας γὰρ παίδων φασὶ καὶ γένος μετόπισθε λείπεσθαι τοῦ ἀγαθοῦ καὶ εὐόρκου, τοὺς δὲ ἀδίκους ἐς πηλόν τινα κατορύττουσιν ἐν ᾅδου καὶ ὕδωρ ἀναγκάζουσι φέρειν.* Dass mit diesen Anspielungen Orpheus, d. h. das orphische Gedicht gemeint sei, erklären aber die Alten ausdrücklich. Plutarch. Compar Cimon et Lucull. p. 346: *Πλάτων ἐπισκώπτει τοὺς περὶ τον Ὀρφέα τοῖς εὖ βεβιωκόσι φάσκοντας ἀποκεῖσθαι γέρας ἐν ᾅδου*

μέθην αἰώνιον. Olympiodor. apud Gesner. in fragm. inedit. p. 409: παρῳδεῖ ἔπος Ὀρφικὸν τὸ λέγον ὅτι ὅστις δ' ἡμῶν ἀτέλεστος, ὥςπερ ἐν βορβόρῳ κείσεται ἐν ᾅδου.

1176) Plato in Phaedon. p. 69, E: Κινδυνεύουσιν καὶ οἱ τὰς τελετὰς ἡμῖν καταστήσαντες οὐ φαῦλοί τινες εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι ὅτι, ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς ᾅδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. Εἰσὶ γὰρ δή, φασὶν οἱ περὶ τὰς τελετάς, ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ τε παῦροι. Wozu Olympiodor l. l. bemerkt: Παρῳδεῖ πανταχοῦ τὰ τοῦ Ὀρφέως· διὸ καὶ στίχον αὐτοῦ φησι

Πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.

1177) Syrianus ad Aristot. metaphys. p. 114, a, bei Lobeck. Aglaoph. p. 577: Οὐδὲ ταῦτα κατὰ τὸ ἀληθὲς ἱστόρηται περὶ τῶν θεολόγων· ἐκεῖνοι γὰρ Νύκτα μὲν καὶ Οὐρανὸν φασι βασιλεύειν, (ἀλλὰ) καὶ πρὸ τούτων τὸν μέγιστον αὐτῶν πατέρα. Ἡ πρωτίστη (μὲν) οὖν ἀρχὴ καὶ παρ' αὐτοῖς ἓν καὶ τἀγαθόν. (Diese Worte sind von weiter unten hier an ihre rechte Stelle gesetzt.) Auf die Urgottheit folgt dann Phanes mit seiner Gemahlin der Nacht:

Τοῖον ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε κόσμον

Οὗ πρῶτος βασίλευσε περικλυτὸς Ἠρικεπαῖος

μεθ' οὗ (statt ὃν) ἡ Νὺξ (da sie mit Phanes zugleich herrschte)

Σκῆπτρον ἔχουσ' ἐν χερσὶν ἀριπρεπὲς Ἠρικεπαίου.

Μεθ' ἣν ὁ Οὐρανός,

Ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα.

Nun folgt Kronos, dessen Herrschaft Syrian zwar mitzählt, aber doch anzuführen vergisst. Die Lücke ist aus einem Citat des Lactant. I, 13, 11 (s. Note 1084) zu ergänzen:

Πρώτιστος μὲν ἄνασσεν ἐπιχθονίων Κρόνος ἀνδρῶν.

Τὸν δὲ Δία, fährt nun Syrian fort, οὐ πρῶτον ἀλλὰ πέμπτον βασιλέα σαφῶς ὀνομάζουσιν οἱ πρὸς αὐτὸν παρὰ τῆς Νυκτὸς δοθέντες χρησμοί (in der Kataposis)

(Ἐκ δὲ Κρόνου γένετ' αὖτις ἄναξ μέγας εὐρυόπα Ζεύς aus der oben angeführten Stelle des Lactantius.)

Ἀθάνατον βασιλῆα θεῶν πέμπτον τε γενέσθαι.

Die sechste Götterdynastie, also die des Dionysus, führt Syrian nicht an, aber sie findet sich bei Plato (im Philebus p. 66. C) mit den eigenen Worten des orphischen Gedichtes erwähnt:

Ἕκτῃ δ' ἐν γενεῇ, φησὶν Ὀρφεύς, καταπαύσατε κόσμον ἀοιδῆς.

1178) Parmenides ap. Simplic. Phys. f. 9, a; 38, b:

Δόξας δ' ἀπὸ τοῦδε βροτείας
Μάνθανε, κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων.

1179) Proclus in Tim. II, 63: Ὁ τοῦ παντὸς ποιητὴς πρὸ τῆς ὅλης δημιουργίας (dies bezeichnet gleich den Grundirrthum der neuplatonischen Exegese; es ist bei der Kataposis gar nicht von der Urgottheit und ihrer Weltschöpfung die Rede, sondern nur von Zeus dem Kroniden und seiner Erhebung zur Urgottheit) εἴς τε τὸ χρηστήριον εἰσιέναι λέγεται τῆς Νυκτὸς κἀκεῖθεν πληροῦσθαι τῶν θείων νοήσεων .... Πρὸς μὲν τὴν Νύκτα πεποίηται τῷ Θεολόγῳ λέγων

Μαῖα, θεῶν ὑπάτη, Νὺξ ἄμβροτε, πῶς, τάδε φράζε,
Πῶς χρή μ' ἀθανάτων ἀρχὴν κρατερόφρονα θέσθαι;

1180) An dieses Fragment knüpft sich unmittelbar ein zweites l. l. p. 96: πρὸς αὐτὸν ἐρωτήσαντα

Πῶς δέ μοι ἕν τι τὰ πάντ' ἔσται, καὶ χωρὶς ἕκαστον

λέγει οὖν ἡ Νὺξ

Αἰθέρι πάντα πέριξ ἀφάτῳ λάβε, τῷ δ' ἐνὶ μέσσῳ
Οὐρανόν· ἐν δέ τε γαῖαν ἀπείριτον, ἐν δὲ θάλασσαν,
Ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται.

Καὶ δὴ περὶ τῶν ἄλλων ἁπάντων ὑποτιθεμένη δημιουργημάτων ἐπήνεγκε

Αὐτὰρ ἐπὴν δεσμὸν κρατερὸν ἐπὶ πᾶσι τανύσσῃς
Σειρὴν χρυσείην ἐξ αἰθέρος ἀρτήσαντα.

1181) Proclus in Tim. IV, 267: Ὀρφεὺς Φάνητα τὸν θεόν..... καὶ κληῖδα νόου ἐκάλεσε. πρὸς τοῦτον (τὸν Φάνητα) ἀνήρτηται ὁ δημιουργός, καὶ ὁ μὲν Πλάτων ὁρᾶν αὐτὸν εἰς τὸ αὐτόζωον εἶπεν, ὁ δὲ Ὀρφεὺς καὶ ἐπιπηδᾶν αὐτῷ καὶ καταπίνειν, δειξάσης τῆς Νυκτός. Idem in Tim. II, 99: ἑνοῦται πρὸς ἐκεῖνον (τὸν Φάνητα) ὁ Ζεὺς διὰ μέσης τῆς Νυκτὸς καὶ πληρωθεὶς γίγνεται κόσμος νοητὸς ἐν νοεροῖς (die Urgottheit selbst).

Ὣς τότε πρωτογόνοιο χανὼν μένος Ἠρικεπαίου
Τῶν πάντων δὲ δέμας εἶχεν ἐνὶ γαστέρι κοίλῃ
Μῖξε δ' ἑοῖς μελέεσσι, θεοῦ δύναμίν τε καὶ ἀλκήν
Τοὔνεκα σὺν τῷ παντὶ Διὸς πάλιν ἐντὸς ἐτύχθη etc.

Hier schliesst sich nun wieder eine andere Stelle an: Ibidem p. 96: Μετὰ τὴν κατάποσιν τοῦ Φάνητος αἱ ἰδέαι τῶν πάντων ἐν αὐτῷ (τῷ Διὶ) πεφήνασιν, ὥς φησιν ὁ Θεολόγος

Τούνεκα σὺν τῷ παντὶ Διὸς πάλιν ἐντὸς ἐτύχθη
Αἰθέρος εὐρείης ἠδ' οὐρανοῦ ἀγλαὸν ὕψος,
Πόντου τ' ἀτρυγέτου γαίης τ' ἐρικυδέος εὐρη,
Ὠκεανός τε μέγας καὶ νείατα τάρταρα γαίης,
Καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, ἄλλα τε πάντα,
Πάντες τ' ἀθάνατοι μάκαρες θεοὶ ἠδὲ θέαιναι,
Ὅσσα τ' ἔην γεγαῶτα καὶ ὕστερον ὁππόσ' ἔμελλεν
Γίγνεσθαι· Ζηνὸς δ'ἐνὶ γαστέρι σύῤῥα πεφύκει.

Τῶν δὲ ἰδεῶν πλήρης ὢν διὰ τούτων ἐν ἑαυτῷ τὰ ὅλα περιείληφεν, ὡς καὶ τοῦτο ὁ Θεολόγος ἐνδεικνύμενος ἐπήγαγε

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος, ἀρχικέραυνος,
Ζεὺς κεφαλὴ, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται. κ. τ. λ.

Die hier citirten Verse finden sich jedoch vollständiger bei Stob. Ecl. phys. I, 3, p. 40 und bei Euseb. praep. ev. III, 9, p. 100: *Τὸν Δία τὸν* *ν ο ῦ ν τ ο ῦ κ ό σ μ ο ν ὑ π ο λ α μ β ά ν ο ν τ ε ς* (auch dies ist unrichtig; Zeus wird mit der U r g o t t h e i t s e l b s t identificirt und nicht bloss mit dem U r g e i s t e, dem *αἰθήρ*, denn dieser wird in den Versen des orphischen Gedichtes ausdrücklich als das Denk-Organ des Zeus aufgefasst, d u r c h w e l c h e s Zeus Alles wahrnimmt, allwissend ist), *ὃς τὰ ἐν αὐτῷ ἐδημιούργησεν ἔχων τὸν κόσμον, ἐν ταῖς θεολογίαις ταύτῃ περὶ αὐτοῦ παραδεδώκασιν οἱ τὰ Ὀρφέως εἰπόντες*

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος, ἀρχικέραυνος.
Ζεὺς κεφαλή, Ζεὺς μέσσα, Διὸς δ'ἐκ πάντα τέτυκται.
Ζεὺς ἄρσην γένετο, Ζεὺς ἄφθιτος ἔπλετο νύμφη.
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος,
Ζεὺς πνοιὴ πάντων, Ζεὺς ἀκαμάτου πυρὸς ὁρμή,
Ζεὺς πόντου ῥίζα, Ζεὺς ἥλιος ἠδὲ σελήνη.
Ζεὺς βασιλεὺς, Ζεὺς αὐτὸς ἁπάντων ἀρχιγένεθλος
Ἓν κράτος, εἷς δαίμων γένετο, μέγας ἀρχὸς ἁπάντων
Ἓν δὲ δέμας βασίλειον, ἐν ᾧ τάδε πάντα κυκλεῖται,
Πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθὴρ, νύξ τε καὶ ἦμαρ,
Καὶ Μῆτις, πρῶτος Γενέτωρ καὶ Ἔρως πολυτερπής.
Πάντα γὰρ ἐν μεγάλῳ Ζηνὸς τάδε σώματι κεῖται.
Τοῦ δή τοι κεφαλὴ μὲν ἰδεῖν καὶ καλὰ πρόσωπα
Οὐρανὸς αἰγλήεις, καὶ χρύσεαι ἀμφὶς ἔθειραι
Ἄστρων μαρμαρέων περικαλλέες ἠερέθονται.
Ταύρεα ἀμφοτέρωθε δύο χρύσεια κέρατα,
Ἀντολίη τε δύσις τε, θεῶν ὁδοὶ οὐρανιώνων.

Ὄμματά τ' ἠέλιός τε καὶ ἀντιόωσα σελήνη.
Νοῦς δέ γε ἀψευδὴς, βασιλήιος, ἄφθιτος αἰθὴρ,
Ὧι δὴ πάντα κλύει καὶ φράζεται· οὐδέ τις ἐστὶν
Αὐδὴ, οὔτ' ἐνοπὴ, οὔτ' αὖ κτύπος οὐδὲ μὲν ὄσσα,
Ἣ λήθει Διὸς οὖας, ὑπερμενέος Κρονίωνος.
Ὧδε μὲν ἀθανάτην κεφαλὴν ἔχεν ἠδὲ νόημα.
Σῶμα δέ οἱ περιφεγγὲς, ἀπείριτον, ἀστυφέλικτον,
Ὄβριμον, ὀβριμόγυιον, ὑπερμενὲς ὧδε τέτυκτο.
Ὦμοι μὲν καὶ στέρνα καὶ εὐρέα νῶτα θεοῖο
Ἀὴρ εὐρυβίης· πτέρυγες δέ οἱ ἐξεφύοντο,
Ταῖς ἐπὶ πάντα ποτᾶθ'. ἱερὴ δέ οἱ ἔπλετο νηδὺς
Γαιά τε παμμήτειρ', ὀρέων τ' αἰπεινὰ κάρηνα,
Μέσση δὲ ζώνη βαρυηχέος οἶδμα θαλάσσης
Καὶ πόντου, πυμάτη δὲ βάσις χθονὸς ἔνδοθι ῥίζαι
Τάρταρά τ' εὐρώεντα καὶ ἔσχατα πείρατα γαίης.
Πάντα δ' ἀποκρύψας αὖθις φάος ἐς πολυγηθὲς
Μέλλεν ἀπὸ κραδίης προφέρειν πολυθέσκελα ῥέζων.

1182) Censorin. de die nat. c. 18: Hujus (magni) anni hiems summa est *κατακλυσμός*, aestas autem *ἐκπύρωσις*. Hunc Aristarchus putavit esse annorum duum millium, Heraclitus et Linus DMCCM, Orpheus CMXX. Plutarch. de defect. orac. c. 12, p. 316: *τὴν στωικὴν ἐκπύρωσιν ὁρῶ ὥσπερ τὰ Ἡρακλείτου καὶ τὰ Ὀρφέως ἐπινενεμημένην ἔπη, οὕτω καὶ τὰ Ἡσιόδου* (?)

1183) Proclus Schol. ad Hesiod. theogon. v. 209: *Τιτᾶνες παρὰ τὸ τετάσθαι καὶ ἐξαπλωθῆναι, ἢ ὅτι, ὡς λέγει οὗτος ἀπὸ τῆς δόξης τοῦ Ὀρφέως λαβὼν τοῦτο, πάλιν τιμωρῆσαι μέλλει ὁ Κρόνος* (*Χρόνος*, die Urgottheit nach dem neuplatonischen System; dass aber *Κρόνος* und *Χρόνος* von den Neuplatonikern als identisch gebraucht werden, haben wir bei der Lehre von der Urgottheit gesehen) *τοὺς θεοὺς καὶ λαβεῖν τὴν βασιλείαν αὐτοῦ, ἤγουν πάλιν ἐπικρατῆσαι μέλλει τὸ σκότος ἐκεῖνο τὸ ἀρχαιότατον τοὺς ζωδιακοὺς κύκλους τοὺς ἔχοντας τοὺς ἀστέρας.*

1184) Justin. Cohort. ad gent. p. 15, C: *Ὀρφεὺς ὁ τῆς πολυθεότητος ὑμῶν πρῶτος διδάσκαλος γεγονὼς πρὸς τὸν υἱὸν Μουσαῖον* (dass hier eben so wenig von dem wirklichen Musäos die Rede ist, als das Gedicht von dem wirklichen Orpheus herruhrt, sondern dass *Μουσαῖος* nach seiner streng wörtlichen Bedeutung: von den Musen-Abstammender, Musensohn, bedeutet, wurde schon fruher bemerkt; s.

Note 1058.) *καὶ τοὺς λοιποὺς γνησίους ἀκροατὰς ὕστερον περὶ ἑνὸς καὶ μόνου θεοῦ κηρύττει λέγων οὕτως*

Ὦ νέοι, ἀλλὰ σέβεσθε μεθ' ἡσυχίης τάδε πάντα.

Aus Diog. Laert. VIII, 7, als die wirkliche Anfangszeile des orphischen Gedichtes hier einzuschalten, wie schon oben in der Einleitung zur „heiligen Sage“ nachgewiesen wurde.)

Φθέγξομαι οἷς θέμις ἐστὶ, θύρας ἐπίθεσθε βεβήλοις
Πᾶσιν ὁμοῦ. σὺ δ' ἄκουε φαεσφόρου ἔκγονε Μήνης
Μουσαῖ· ἐξερέω γὰρ ἀληθέα· μηδέ σε τὰ πρὶν
Ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ,
Εἰς δὲ λόγον θεῖον βλέψας τούτῳ προσέδρευε,
Ἰθύνων κραδίης νοερὸν κύτος, εὖ τ' ἐπίβαινε
Ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα.
Εἷς ἔστ' αὐτογενὴς, ἑνὸς ἔκγονα πάντα τέτυκται,
Ἐν δ' αὐτοῖς αὐτὸς περιγίγνεται· οὐδέ τις αὐτὸν
Εἰσοράᾳ θνητῶν, αὐτὸς δέ γε πάντας ὁρᾶται.
Οὗτος δ' ἐξ ἀγαθοῖο κακὸν θνητοῖσι δίδωσι
Καὶ πόλεμον κρυόεντα καὶ ἄλγεα δακρυόεντα.
Οὐδέ τις ἔσθ' ἕτερος χωρὶς μεγάλοιο ἄνακτος.
Αὐτὸν δ' οὐχ ὁρόω, περὶ γὰρ νέφος ἐστήρικται.
Πᾶσιν γὰρ θνητοῖς θνηταὶ κόραι εἰσὶν ἐν ὄσσοις,
Ἀσθενέες δ' ἰδέειν Δία τὸν πάντων μεδέοντα.
Οὗτος γὰρ χάλκειον ἐς οὐρανὸν ἐστήρικται
Χρυσέῳ εἰνὶ θρόνῳ· γαίης δ' ἐπὶ ποσσὶ βέβηκε
Χεῖρά τε δεξιτερὴν ἐπὶ τέρματος ὠκεανοῖο
Πάντοθεν ἐκτέτακεν· περὶ γὰρ τρέμει οὔρεα μακρὰ
Καὶ ποταμοὶ πολιῆς τε βάθος χαροποῖο θαλάσσης.

1185) Hieran schliesst sich ohne bemerkbare Unterbrechung des Sinnes ein anderes Fragment bei Clem. Alex. Strom. V, p. 724:

Αἰθέρος ἠδ' ἀΐδου, πόντου γαίης τε τύραννε,
Ὃς βρονταῖς σείεις βριαρὸν δόμον Οὐλύμποιο,
Δαίμονες ὃν φρίσσουσι, θεῶν δὲ δέδοικεν ὅμιλος,
Ὧι Μοῖραι πείθονται, ἀμείλικτοί περ ἐοῦσαι,
Ἄφθιτε μητροπάτωρ (als Erzeuger der Weltkugel, die gleich im folgenden Fragm. *μήτηρ πάντων* heisst)
οὗ θυμῷ πάντα δονεῖται,
Ὃς κινεῖς ἀνέμους, νεφέλαισι δὲ πάντα καλύπτεις
Πρηστῆρσιν σχίζων πλατὺν αἰθέρα· σὴ μὲν ἐν ἄστροις
Τάξις ἀναλλάκτοισιν ἐφημοσύναισι τρέχουσα,

Σὸν μὲν ἔαρ λάμπει νέον ἄνθεσι πορφυρέοισι,
Σὸς χειμὼν ψυχραῖσιν ἐπερχόμενος νεφέλαισι,
Σός ποτε βακχευτὴς Βρόμιος διένειμεν ὀπώρας.

Εἶτα ἐπιφέρει ῥητῶς παντοκράτορα ὀνομάζων τὸν θεὸν
Ἄφθιτον, ἀθάνατοι, ῥητὸν μόνον ἀθανάτοισιν,
Ἐλθὲ μέγιστε θεῶν πάντων κρατερῇ σὺν Ἀνάγκῃ (dem vierten der göttlichen Urwesen, der Schicksals-Gottheit)
Φρικτὸς, ἀήττητος, μέγας, ἄφθιτος, ὃν στέφει αἰθήρ. . . . .

1186) In dem eben angeführten Citate bricht nun Clemens, offenbar weil er, was weiter folgte, zu seinem Zwecke nicht brauchen konnte, gerade in der Mitte der Anrufung ab. Denn nach der herkömmlichen solennen Gebetsform wurde der Gott, an welchen das Gebet oder das Opfer gerichtet war, erst angerufen: zum Opfernden zu kommen, vom Olymp zum Betenden herabzusteigen, und dann angefleht: das Gebet zu erhören, das Opfer gnädig anzunehmen; *ἐλθὲ καὶ κέκλυθι*, komm' und erhöre uns, oder *ἐλθὲ καὶ ἵλαθι*, kumm' und sei uns gnädig, waren also die zwei Hälften jedes solennen Gebetes. Der erste Theil der herkömmlichen Gebetsformel findet sich also in unserm Bruchstück, aber dann bricht dies ab, und die zweite Hälfte fehlt. Glücklicher Weise hat sich aber bei einem anderen Berichterstatter ein anderes orphisches Fragment erhalten, das mit der zweiten Hälfte dieser Gebetsformel anfängt, und dem also die erste Hälfte: die Anrufung der Gottheit, die Herbeirufung derselben, fehlt. Fügt man dann die beiden Fragmente an einander, so sieht man, dass sie vollkommen zu einander passen, und dass eines das andere ergänzt. Dieses zweite Fragment ist nun jener früher in Note 949 schon angeführte und aus mehreren anderen Citaten ergänzte locus classicus über die Zahlensymbolik, weil in ihm die Urgottheit mit ihrem Zahlen-Namen bezeichnet ist: die Urgottheit als Kollektiv-Ganzes unter dem Namen der Vierfaltigkeit (*τετρακτύς*), und von den einzelnen göttlichen Urwesen die auch sonst gewöhnlich hervorgehobenen und mit einander verbundenen: der Aether, der Urgeist, die Monas (*μονάς*) und der unendliche Raum, eben die im letzten Bruchstück mit angerufene Schicksalsgottheit, die Ananke, die Tetras (*τετράς*). Nach den in Note 949 schon angegebenen Ergänzungen lautet die ganze Stelle, wie folgt:

Ἵλαθι, κύδιμ᾽ ἀριθμὲ, πάτερ μακάρων, πάτερ ἀνδρῶν
Τετρακτὺς ζαθέη, πηγὴν ῥίζωμά τ᾽ ἔχουσα
Ἀενάου φύσεως· πρόεισι γὰρ θεῖος ἀριθμὸς
Μονάδος ἐκ κευθμῶνος ἀκηράτου, ἔστ᾽ ἂν ἵκηται
Τετράδ᾽ ἐπὶ ζαθέην· ἣ δὴ τέκε μητέρα πάντων
Πανδεχέα, πρέσβειραν, ὅρον περὶ πᾶσι τιθεῖσαν,
Ἄτροπον, ἀκαμάτην, δεκάδα κλείουσί μιν ἁγνήν,
Κληδοῦχον πάντων· ἀριθμῷ δέ τε πάντ᾽ ἐπέοικε.

das Ewige und Unentstandene zum Vorbild nehmen konnte, wie sich dies denn auch bei der Schönheit der Welt und der Trefflichkeit des Schöpfers nicht anders erwarten lässt: *εἰ μὲν δὴ καλός ἐστιν ὅδε ὁ κόσμος, ὅ, τε δημιουργὸς ἀγαθὸς, δῆλον ὡς πρὸς τὸ ἀΐδιον ἔβλεπεν· εἰ δὲ (ὃ μηδ' εἰπεῖν τινι θέμις) εἰς τὸ γεγονός· παντὶ δὲ σαφὲς ὅτι πρὸς τὸ ἀΐδιον.* Da aber die irdischen Dinge, nach Plato, nicht von der Urgottheit selbst, sondern von untergeordneten Gottheiten erschaffen wurden (Tim. p. 41, B in fin. p. 69, C: (s. Note 1492) so konnten nnd mussten sich diese bei ihrer irdischen Schöpfung auch die geschaffenen kosmischen Urbilder, die übrigen Urzahlen ausser der Urgottheit von der Monas bis zur Dekas zu Mustern und Vorbildern nehmen. Dies erhellt daraus, dass die irdische Welt so unvollkommen ist; denn (ibid. p. 28, a): *ὅπου μὲν οὖν ἂν ὁ δημιουργὸς πρὸς τὸ κατὰ ταὐτὸ ἔχον βλέπων ἀεὶ, τοιούτῳ τινὶ προςχρώμενος παραδείγματι, τὴν ἰδέαν* (Gestalt) *καὶ δύναμιν ἀπεργάζηται, καλὸν ἐξ ἀνάγκης οὕτως ἀποτελεῖσθαι πᾶν· οὗ δ' ἂν εἰς τὸ γεγονὸς, γεννητῷ παραδείγματι προςχρώμενος, οὐ καλόν* (nicht vollkommen.)

1490) Vgl. Arist. metaph. I, 6, s. 8 in Note 1487, wonach die urbildlichen Zahlen aus der Materie durch Theilnahme am Ur-Einen, der Urgottheit, entstehen. Diese Theilnahme (*μέθεξις*) bezeichnet eine Wesens-Gemeinschaft, denn nach derselben Stelle gewährt das Unendliche (*τὸ μέγα καὶ μικρον*), d. h. die Urmaterie, den Stoff, das Ur-Eine, die Urgottheit aber das Wesen (*οὐσίαν*) zn den Principien, den Urbildern, Urzahlen. Ebenso metaph. XIV, 1, s. 6: *γεννῶνται γὰρ οἱ ἀριθμοὶ τοῖς μὲν* (Plato und den meisten Platonikern) *ἐκ τῆς τοῦ ἀνίσου δυάδος τοῦ μεγάλου καὶ μικροῦ, τῷ δὲ* (dem Speusipp) *ἐκ τοῦ πλήθους, ὑπὸ τῆς τοῦ ἑνὸς δὲ οὐσίας ἀμφοῖν.*

1491) Arist. metaph. I, 6, s. 4: *Οὗτος μὲν οὖν (ὁ Πλάτων) τὰ τοιαῦτα τῶν ὄντων* (die Principien) *ἰδέας* (Urbilder) *προςηγόρευσε, τὰ δ' αἰσθητὰ* (die Einzeldinge) *παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα· κατὰ μέθεξιν γὰρ εἶναι τὰ πολλὰ τῶν συνωνύμων τοῖς εἴδεσιν. τὴν δὲ μέθεξιν τοὔνομα μόνον μετέβαλεν· οἱ μὲν γὰρ Πυθαγόρειοι μιμήσει τὰ ὄντα φασὶν εἶναι τῶν ἀριθμῶν, Πλάτων δὲ μεθέξει, τοὔνομα μεταβαλών· τὴν μέντοι γε μέθεξιν ἢ τὴν μίμησιν, ἥτις ἂν εἴη τῶν εἰδῶν, ἀφεῖσαν ἐν κοινῷ ζητεῖν.* Gegen diese polemisirende Ansicht, welche durch ungenauere

Aussprüche von Plato selbst, wie die in Note 1488 angeführte Stelle des Parmenides (p. 132, D), allerdings gestützt wird, spricht aber der eigene, aristotelische Sprachgebrauch an anderen Orten, wie z. B. in der Note 1490 angeführten Stelle der Metaphysik.

1492) Tim. p. 69, C: *Καὶ τῶν μὲν θείων* (*ζώων*, der Weltkugel und ihrer Theile) *αὐτὸς* (*ὁ θεὸς*) *γίνεται δημιουργός, τῶν δὲ θνητῶν τὴν γένεσιν τοῖς ἑαυτοῦ γεννήμασι* (*τοῖς θείοις ζώοις*) *δημιουργεῖν προσέταξεν· οἱ δὲ μιμούμενοι, παραλαβόντες ἀρχὴν ψυχῆς ἀθάνατον, τὸ μετὰ τοῦτο θνητὸν σῶμα αὐτοὶ περιετόρνευσαν, ἄλλο δὲ εἶδος ἐν αὐτῷ ψυχῆς προςῳκοδομοῦντο θνητὸν, καὶ σεβόμενοι μιαίνειν τὸ θεῖον, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητὸν, ὅρον διοικοδομήσαντες τῆς κεφαλῆς καὶ τοῦ στήθους, . . . ἐν δὴ τοῖς στήθεσι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν.*

1493) Arist. metaph. I, 6, s. 6: *Ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη τὰ μαθηματικὰ τῶν πραγμάτων εἶναί φησι μεταξὺ, διαφέροντα τῶν μὲν αἰσθητῶν τῷ ἀΐδια καὶ ἀκίνητα εἶναι, τῶν δὲ εἰδῶν τῷ τὰ μὲν πόλλ' ἄττα ὅμοια εἶναι, τὸ δὲ εἶδος* (die Urzahl) *αὐτὸ ἓν ἕκαστον μόνον.*

1494) Arist. metaph. XIV, 3, s. 13: *Οἱ δὲ τὰς ἰδέας τιθέμενοι . . . . ποιοῦσι τὰ μεγέθη ἐκ τῆς ὕλης καὶ ἀριθμοῦ· ἐκ μὲν τῆς δυάδος τὰ μήκη* (die Längen, d. i. die Linien), *ἐκ τριάδος δ' ἴσως τὰ ἐπίπεδα, ἐκ δὲ τῆς τετράδος τὰ στερεά.* Syrian. in metaph. XIII, 9: *οἱ μὲν αὐτοὺς τοὺς ἀριθμοὺς τὰ εἴδη τοῖς μεγέθεσιν ἔλεγον ἐπιφέρειν, οἷον δυάδα μὲν γραμμῇ, τριάδα δὲ ἐπιπέδῳ, τετράδα δὲ στερεῷ, τοιαῦτα γὰρ ἐν τοῖς περὶ φιλοσοφίας ἱστορεῖ περὶ Πλάτωνος· οἱ δὲ μεθέξει τοῦ ἑνὸς τὸ εἶδος ἀπετέλουν τῶν μεγεθῶν.*

1495) Arist. metaph. I, 9, s. 35. *Ἔτι αἱ στιγμαὶ ἐκ τίνος ἐνυπάρξουσιν; τούτῳ μὲν οὖν τῷ γένει* (*τῆς στιγμῆς*) *καὶ διεμάχετο Πλάτων, ὡς ὄντι γεωμετρικῷ δόγματι, ἀλλ' ἐκάλει ἀρχὴν γραμμῆς, τοῦτο δὲ πολλάκις ἐτίθει τὰς ἀτόμους γραμμάς.* Alex. Schol. p. 581, b, 28: *φησὶν αὐτὸν* (*τὸν Πλάτωνα*) *μηδὲ τὴν ἀρχὴν παραδέχεσθαι ὡς οὖσαν φύσιν τινὰ σημείου, ἀλλὰ λέγειν δόγμα τι τοῦτο καὶ θέσιν τινὰ γεωμετρικὴν εἶναι, οὐκ ἐν τῇ φύσει τῶν ὄντων οὖσαν . . . . . ἱστορεῖ δὲ ὡς καὶ Πλάτωνος, οὐ μόνον Ξενοκράτους, ἀτόμους γραμμὰς τιθεμένου.*

1496) Phileb. p. 25, D, E: (*Λέγω*) *τὴν τοῦ ἴσου καὶ διπλασίου* (*φύσιν*), *καὶ ὁπόση παύει πρὸς ἄλληλα τἀναντία διαφόρως,*

ἔχοντα, ξύμμετρα δὲ καὶ ξύμφωνα ἐνθεῖσα ἀριθμὸν ἀπεργάζεται p. 26: *ἐν δὲ ὀξεῖ καὶ βαρεῖ καὶ ταχεῖ καὶ βραδεῖ, ἀπείροις οὖσιν, ταῦτα (οἱ ἀριθμοὶ) ἐγγιγνόμενα, τὰ αὐτὰ ἅμα πέρας ἀπειργάσατο, καὶ μουσικὴν ξύμπασαν τελεώτατα ξυνεστήσατο.*

1497) De republ. VII, p. 530, C, D: *Προβλήμασιν* (die theoretischen Aufgaben selbst) *ἄρα χρώμενοι, ὥσπερ γεωμετρίαν, οὕτω καὶ ἀστρονομίαν μέτιμεν, τὰ δ' ἐν τῷ οὐρανῷ* (die beobachtende Sternkunde) *ἐάσομεν, εἰ μέλλομεν, ὄντως ἀστρονομίας μεταλαμβάνοντες, χρήσιμον τὸ φύσει φρόνιμον ἐν τῇ ψυχῇ ἐξ ἀχρήστου ποιήσειν.* ibid. D: *Ἀλλὰ πλείω εἴδη παρέχεται ἡ φορά· τὰ μὲν οὖν πάντα ἴσως ὅστις σοφὸς ἕξει εἰπεῖν, ἃ δὲ καὶ ἡμῖν προφανῆ δύο· πρὸς μὲν τούτῳ* (*τῆς ἀστρονομίας εἴδει*) *καὶ τὸ ἀντίστροφον αὐτοῦ. κινδυνεύει γὰρ ὡς πρὸς ἀστρονομίαν ὄμματα πέπηγεν, ὣς πρὸς ἐναρμόνιον φορὰν ὦτα παγῆναι, καὶ αὗται ἀλλήλων ἀδελφαί τινες αἱ ἐπιστῆμαι εἶναι, ὡς οἵ τε Πυθαγόρειοί φασι, καὶ ἡμεῖς συγχωροῦμεν.* (wörtliche Anspielung auf eine zufällig erhaltene Stelle aus des Archytas Schrift *περὶ μαθημάτων*, s. Note 1451; ein Beweis also, dass Plato auch des Archytas Schriften kannte.) p. 531, C: (*Εἰ οὖν*) *εἰς προβλήματα ἀνίασιν, ἐπισκοπεῖν τίνες ξύμφωνοι ἀριθμοὶ καὶ τίνες οὔ, χρήσιμον πρὸς τὴν τοῦ καλοῦ τε καὶ ἀγαθοῦ ζήτησιν, ἄλλως δὲ* (auf nicht theoretisch-spekulative, sondern beobachtend-experimentale Weise) *μεταδιωκόμενον, ἄχρηστον.* (Optime!) Eben so urtheilt Plato von der Zahlenlehre im Allgemeinen: De republ. VII, p. 525, E: (*Τὸ περὶ τοὺς ἀριθμοὺς μάθημα*) *σφόδρα ἄνω ποι ἄγει τὴν ψυχὴν καὶ περὶ αὐτῶν τῶν ἀριθμῶν ἀναγκάζει διαλέγεσθαι·* und von der Geometrie: ibid. pag. 527, B: *Τοῦ γὰρ ἀεὶ ὄντος ἡ γεωμετρικὴ γνῶσίς ἐστιν. ὁλκὸν ἄρα ... ψυχῆς πρὸς ἀλήθειαν εἴη ἂν καὶ ἀπεργαστικὸν φιλοσόφου διανοίας πρὸς τὸ ἄνω σχεῖν, ἃ νῦν κάτω οὐ δέον ἔχομεν.*

1498) Theologum arithm. p. 61: *Ὅτι καὶ Σπεύσιππος, ὁ Ποτώνης μὲν υἱὸς τῆς τοῦ Πλάτωνος ἀδελφῆς, διάδοχος δὲ ἀκαδημίας πρὸ Ξενοκράτους, ἐξαιρέτως σπουδασθεισῶν ἀεὶ Πυθαγορικῶν ἀκροάσεων, μάλιστα δὲ τῶν Φιλολάου συγγραμμάτων, βιβλιδιόν τι συντάξας γλαφυρὸν, ἐπέγραψε μὲν αὐτὸ περὶ Πυθαγορικῶν ἀριθμῶν· ἀπ' ἀρχῆς δὲ μέχρι ἡμίσους περὶ τῶν ἐν αὐτοῖς γραμμικῶν ἐμμελέστατα διεξελθὼν, πολυγωνίων τε καὶ παντοίων τῶν ἐν ἀριθμοῖς ἐπιπέδων ἅμα καὶ στερεῶν, περί τε τῶν πέντε σχημάτων, ἃ τοῖς*

κοσμικοῖς ἀποδίδοται στοιχείοις, ἰδιότητος αὐτων πρὸς ἄλληλα καὶ κοινότητος, ἀναλογίας τε καὶ ἀνακολουθίας· μετὰ ταῦτα λοιπὸν θάτερον τὸ τοῦ βιβλίου ἥμισυ περὶ δεκάδος ἄντικρυς ποιεῖται, φυσικωτάτην αὐτὴν ἀποφαίνων καὶ τελεστικωτάτην τῶν ὄντων, οἷον εἶδός τι τῶν κοσμικῶν ἀποτελεσμάτων τεχνικὸν ἀφ' ἑαυτῆς, οὐχ ἡμῶν νομισάντων, ἢ ὡς ἔτυχεν ἢ ἔθελεν, ἀλλ' ὑπάρχουσα καὶ παράδειγμα παντελέστατον, τῷ τοῦ παντὸς ποιητῇ θεῷ προεκκειμένη.

1499) Theologum. arithm. p. 61, 62 u. 63. Die im Texte angeführten Stellen lauten: p. 61, infr.: Ἔστι δὲ τὰ δέκα τέλειος (ἀριθμὸς) καὶ ὀρθῶς τε καὶ κατὰ φύσιν εἰς τοῦτον καταντῶμεν παντοίως ἀριθμοῦντες Ἕλληνές τε καὶ πάντες ἄνθρωποι. πολλὰ γὰρ ἴδια ἔχει . . . . . . πρῶτον μὲν οὖν ἄρτιον δεῖ εἶναι, ὅπως ἴσοι ἐνῶσιν οἱ περισσοί τε καὶ ἄρτιοι . . . . p. 62 med.: Ἔτι πάντες οἱ λόγοι ἐν τῷ ί . . . . . καὶ οἱ γραμμικοὶ (ἀριθμοὶ) καὶ οἱ ἐπίπεδοι καὶ οἱ στερεοί· τὸ μὲν γὰρ ά στιγμὴ, τὰ δὲ β' γραμμή, τὰ δὲ γ τρίγωνον, τὰ δὲ δ' πυραμίς· ταῦτα δὲ πάντα ἐστὶ πρῶτα καὶ ἀρχαὶ τῶν καθ' ἕκαστον ὁμογενῶν . . . . . p. 62 infr.: Ἔχει ταῦτα τὸν τῶν δέκα ἀριθμὸν καὶ τέλος ἴσχει· τετρὰς μὲν γὰρ ἐν πυραμίδος γωνίαις ἢ βάσεσι, ἑξὰς δὲ ἐν πλευραῖς, ὥστε δέκα. So geht es durch ganze zwei Seiten fort.

1500) Arist. metaph. XIII, 8, s. 8: Εἰσὶ δ' ὅσοι ἰδέας μὲν οὐκ οἴονται εἶναι, οὔθ' ἁπλῶς οὔτε ὡς ἀριθμούς τινας οὔσας, τὰ δὲ μαθηματικὰ εἶναι, καὶ τοὺς ἀριθμοὺς (μαθηματικοὺς) πρώτους τῶν ὄντων, καὶ ἀρχὴν αὐτῶν εἶναι (τῶν ἀριθμῶν) αὐτὸ τὸ ἓν (μαθηματικόν).

1501) Ibid. c. 9, s. 22: Ἔτι δὲ τὸ διαφωνεῖν τοὺς πρώτους περὶ τῶν ἀριθμῶν σημεῖον, ὅτι τὰ πράγματα ταῦτα οὐκ ὄντα ἀληθῆ παρέχει τὴν ταραχὴν αὐτοῖς. οἱ μὲν γὰρ τὰ μαθηματικὰ μόνον ποιοῦντες παρὰ τὰ αἰσθητὰ, ὁρῶντες τὴν περὶ τὰ εἴδη δυσχέρειαν καὶ πλάσιν, ἀπέστησαν ἀπὸ τοῦ εἰδητικοῦ ἀριθμοῦ καὶ τὸν μαθηματικὸν ἐποίησαν.

1502) Ibid. c. 6, s. 14 u. 15: Ὁμοίως δὲ καὶ περὶ τὰ μήκη καὶ περὶ τὰ ἐπίπεδα καὶ περὶ τὰ στερεὰ (διαφωνοῦσι)· οἱ μὲν τὰ μαθηματικὰ καὶ μαθηματικῶς (nur im mathematischen Sinne) λέγουσιν, ὅσοι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμοὺς, μηδὲ εἶναί φασιν ἰδέας, οἱ δὲ τὰ μαθηματικὰ οὐ μαθηματικῶς etc.

1503) Ibid. XIV, 3, s. 5: *Κατὰ μέντοι τὸ ποιεῖν ἐξ ἀριθμῶν τὰ φυσικὰ σώματα, ἐκ μὴ ἐχόντων βάρος μηδὲ κουφότητα, ἔχοντα κουφότητα καὶ βάρος, ἐοίκασι περὶ ἄλλου οὐρανοῦ λέγειν καὶ σωμάτων ἀλλ' οὐ τῶν αἰσθητῶν.*

1504) Ibid. VII, 2, s. 4 u. 5: Plato habe drei Arten von Substanzen angenommen: die der Ideen und des Mathematischen und der sinnlichen Körper: *Σπεύσιππος δὲ καὶ πλείους οὐσίας, ἀπὸ τοῦ ἑνὸς ἀρξάμενος, καὶ ἀρχὰς ἑκάστης οὐσίας, ἄλλην μὲν ἀριθμῶν, ἄλλην δὲ μεγεθῶν, ἔπειτα ψυχῆς· καὶ τοῦτον δὴ τὸν τρόπον ἐπεκτείνει τὰς οὐσίας.*

1505) Ibid. XII, 10, s. 22: *Οἱ δὲ λέγοντες τὸν ἀριθμὸν πρῶτον τὸν μαθηματικόν, καὶ οὕτως ἀεὶ ἄλλην ἐχομένην οὐσίαν, καὶ ἀρχὰς ἑκάστης ἄλλας, ἐπεισοδιώδη τὴν τοῦ παντὸς οὐσίαν ποιοῦσιν, — οὐθὲν γὰρ ἡ ἑτέρα τῇ ἑτέρᾳ συμβάλλεται* (hängt nicht zusammen), *οὖσα ἢ μὴ οὖσα, — καὶ ἀρχὰς πολλάς· τὰ δὲ ὄντα οὐ βούλεται πολιτεύεσθαι κακῶς· „οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω“*

1506) Ibid. XIV, 3, s. 11: *Ἔτι δὲ ἐπιζητήσειεν ἄν τις περὶ μὲν τοῦ ἀριθμοῦ παντὸς καὶ τῶν μαθηματικῶν τὸ μηθὲν συμβάλλεσθαι ἀλλήλοις τὰ πρότερα τοῖς ὕστερον· μὴ ὄντος γὰρ τοῦ ἀριθμοῦ οὐθὲν ἧττον τὰ μεγέθη ἔσται τοῖς τὰ μαθηματικὰ μόνον εἶναι φαμένοις, καὶ τούτων μὴ ὄντων ἡ ψυχὴ, καὶ τὰ σώματα τὰ αἰσθητά. οὐκ ἔοικε δ' ἡ φύσις ἐπεισοδιώδης οὖσα ἐκ τῶν φαινομένων, ὥσπερ μοχθηρὰ τραγῳδία.*

1507) Ibid. XII, 7, s. 20: *Ὅσοι δὲ ὑπολαμβάνουσιν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος, τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι, διὰ τὸ καὶ τῶν φυτῶν καὶ τῶν ζώων τὰς ἀρχὰς αἴτια μὲν εἶναι τὸ δὲ καλὸν καὶ τέλειον ἐν τοῖς ἐκ τούτων, οὐκ ὀρθῶς οἴονται.* Ibid. XIV, c. 4, s. 3: *Ἔχει δ' ἀπορίαν .... πότερόν ἐστί τι (τῶν στοιχείων καὶ ἀρχῶν) αὐτὸ τὸ ἀγαθὸν καὶ ἄριστον, ἢ οὔ, ἀλλ' ὑστερογενῆ. παρὰ μὲν γὰρ τῶν θεολόγων ἔοικεν ὁμολογεῖσθαι τῶν νῦν τισίν, οἵ οὔ φασιν, ἀλλὰ προελθούσης τῆς τῶν ὄντων φύσεως καὶ τὸ ἀγαθὸν καὶ τὸ καλὸν ἐμφαίνεσθαι. τοῦτο δὲ ποιοῦσιν εὐλαβούμενοι ἀληθινὴν δυσχέρειαν, ἣ συμβαίνει τοῖς λέγουσιν τὸ ἓν* (das Ur-Eine, die Urgottheit) *ἀρχήν· ἔστι δ' ἡ δυσχέρεια οὐ διὰ τὸ τῇ ἀρχῇ τὸ εὖ ἀποδιδόναι ὡς ὑπάρχον* (was des Aristoteles eigene Lehre ist,), *ἀλλὰ διὰ τὸ τὸ ἓν ἀρχὴν καὶ ἀρχὴν ὡς στοιχεῖον, καὶ τὸν ἀριθμὸν ἐκ τοῦ ἑνός* (wie die Anhänger der Zahlen- und Ideenlehre und insbesondere Plato

annehmen .... ἅπασαι γὰρ αἱ μονάδες γίγνονται ὅπερ ἀγαθόν τι, καὶ πολλή τις εὐπορία ἀγαθῶν. .... καὶ τὸ ἐναντίον στοιχεῖον, εἴτε πλῆθος ὂν (Speusipp's Bezeichnung) εἴτε τὸ ἄνισον καὶ μέγα καὶ μικρὸν (Plato's Bezeichnung) τὸ κακὸν αὐτό. διόπερ ὁ μὲν (Σπεύσιππος) ἔφευγε τὸ ἀγαθὸν προςάπτειν τῷ ἑνὶ (dem Ur-Einen, der Urgottheit), ὡς ἀναγκαῖον ὄν, ἐπειδὴ ἐξ ἐναντίων ἡ γένεσις, τὸ κακὸν τὴν τοῦ πλήθους φύσιν εἶναι. Dies nimmt aber Speusipp mit allen übrigen Pythagoreern doch an, trotz dem dass er das Ur-Eine (τὸ ἓν im strengeren Sinne) die Urgottheit nicht als das Urgute betrachtet, sondern wieder, wie die älteren Pythagoreer die Monas (von den Berichterstattern, ja von Plato und Aristoteles selbst, auch oft ἓν genannt) unter die Systöchie des Guten setzt.

1508) Stob. Ecl. phys. I, 1: Σπεύσιππος τὸν νοῦν (θεὸν ἀπεφήνατο), οὔτε τῷ ἑνὶ οὔτε τῷ ἀγαθῷ ταυτὸν, ἰδιοφυῆ δέ. Es ist klar, dass hier das ἓν die Monas bezeichnet, wie öfters im späteren Sprachgebrauche. Cic. de nat. Deor. I, 13: Speusippus, Platonem avunculum subsequens, et vim quandam dicens qua omnia regantur, eamque animalem, evertere ex animis conatur cognitionem Deorum.

1509) Aristot. Ethic. Nicom. I, 4: Πιθανώτερον δ' ἐοίκασιν οἱ Πυθαγόρειοι λέγειν περὶ αὐτοῦ, τιθέντες ἐν τῇ τῶν ἀγαθῶν συστοιχίᾳ τὸ ἓν (die Monas, wie der Zusammenhang von selbst ergibt)· οἷς δὴ καὶ Σπεύσιππος ἐπακολουθῆσαι δοκεῖ. Aristot. metaph. XII, 10, s. 8: Οἱ δὲ τὸ ἕτερον τῶν ἐναντίων ὕλην ποιοῦσιν, ὥσπερ οἱ τὸ ἄνισον τῷ ἴσῳ, ἢ τῷ ἑνὶ τὰ πολλά (Ausdrucksweise Speusipps) .... ἡ δὲ ὕλη ἡ μία οὐθενὶ ἐναντίον ..... ἔτι ἅπαντα τοῦ φαύλου μεθέξει ἔξω τοῦ ἑνός; τὸ γὰρ κακὸν αὐτὸ θάτερον τῶν στοιχείων (muss also auch von Speusipp gelten.)

1510) Stob. Ecl. phys. I, p. 62.

1511) Cic. de nat. Deor. I, 13. Ebenso Clem. Alex. protrept. p. 44, a.

1512) S. die eben citirte Stelle in des Stob. Ecl. I, p. 62; Plutarch. de defect. oracc. 13, pag. 416, c.

1513) Plutarch. de Isid. et Osir. 26, p. 361, b.

1514) Arist. Top. II, 6, p. 112, 37: καθάπερ Ξενοκράτης φησὶν εὐδαίμονα εἶναι τὸν τὴν ψυχὴν ἔχοντα σπουδαίαν· ταύτην γὰρ ἑκάστου εἶναι δαίμονα. Stob. Serm. II, 24: Ξενο-

κράτης ἔλεγεν ..... ὅτι δαίμονος κακίᾳ τοὺς πονηροὺς κακοδαίμονας ὀνομάζομεν.

1515) Arist. de Coelo I, 10, p. 279, b, mit der Erklärung des Simplicius. (Schol. 488, b, 15) *δοκεῖ μὲν πρὸς Ξενοκράτην μάλιστα καὶ τοὺς Πλατωνικοὺς ὁ λόγος τείνειν.*

1516) Plutarch. de anim. procr. 1, p. 1012, d: *Ξενοκράτης .... τῆς ψυχῆς τὴν οὐσίαν ἀριθμὸν αὐτὸν ὑφ' ἑαυτοῦ κινούμενον ἀποφηνάμενος.*

1517) Plutarch. de defect. oracc. 13, p. 416, c.

1518) Senec. epistol. 90, s. 6: Zaleuci leges Charondaeque laudantur. Hi non in foro, nec in consultorum atrio, sed in Pythagorae tacito illo sanctoque secessu didicerunt jura, quae florenti tunc Siciliae et per Italiam Graeciae ponerent.

1519) Augustin. de ordine libror. II, c. 20: Quod autem Pythagorae mentionem fecisti, nescio quo illo divino ordine occulto tibi in mentem venisse credo. Res enim multum necessaria mihi prorsus exciderat, quam in illo viro, — si quid literis memoriae mandatis credendum est, quamvis Varroni quis non credat? — mirari et quotidianis paene, ut scis, efferre laudibus soleo, „quod regendae reipublicae disciplinam suis auditoribus ultimam tradebat jam doctis, jam perfectis, jam sapientibus, jam beatis." Man sieht, Augustins Bombast ist des Varronischen würdig.

1520) Plutarch. vit. Num. c. 8: *Πυθαγόραν τῇ πολιτείᾳ Ῥωμαῖοι προσέγραψαν, ὡς ἱστόρηκεν Ἐπίχαρμος ὁ κωμικὸς ἔν τινι λόγῳ πρὸς Ἀντήνορα γεγραμμένῳ, παλαιὸς ἀνὴρ καὶ τῆς Πυθαγορικῆς διατριβῆς μετεσχηκώς.* Wie sehr auch noch später Pythagoras bei den Römern in Ansehen stand, bezeugt Plutarch an demselben Ort: *Αὐτοὶ δ' ἀκηκόαμεν πολλῶν ἐν Ῥώμῃ διεξιόντων, ὅτι Ῥωμαίοις ποτὲ χρησμοῦ γενομένου τὸν φρονιμώτατον καὶ τὸν ἀνδρειότατον Ἑλλήνων ἱδρύσασθαι παρ' αὐτοῖς, ἔστησαν ἐπὶ τῆς ἀγορᾶς εἰκόνας χαλκᾶς δύο, τὴν μὲν Ἀλκιβιάδου, τὴν δὲ Πυθαγόρου.* Beide Nachrichten sind ganz unabhängig von Plutarch's Hypothese, dass Pythagoras ein Zeitgenosse des Numa gewesen sei, obgleich Plutarch sie zur Unterstützung dieser Hypothese anführt; wie wenig er ihr aber selbst traut, beweisen seine Schlussworte des Kapitels: *Ταῦτα μὲν οὖν ἀμφισβητήσεις ἔχοντα πολλάς, καὶ τὸ κινεῖν διὰ μακροτέρων καὶ τὸ πιστοῦσθαι μειρακιώδους ἐστὶ φιλονεικίας.*

1521) Jamblich. de Vit. Pyth. s. 172: *Νομοθέται πάντων ἄριστοι γεγόνασιν οἱ Πυθαγόρᾳ προσελθόντες· πρῶτον μὲν Χαρώνδας ὁ Καταναῖος* (lebte vor Pythagoras)· *ἔπειτα Ζάλευκος* (gab den Lokrern ihre Gesetze schon 660 v. Ch., 36 Jahre vor der Drakonischen Gesetzgebung in Athen) *καὶ Τιμάρατος* (*Τιμάρης*), *οἱ Λοκροῖς γράψαντες τοὺς νόμους. πρὸς τούτοις Θεαίτητος* (*Θεοκλῆς?*) *καὶ Ἑλικάων καὶ Ἀριστοκράτης καὶ Φύτιος, οἱ Ῥηγίνων γενόμενοι νομοθέται.* Vergl. Jambl. l. l. s 129: *Ἦσαν ἔνιοι τῶν Πυθαγορείων πολιτικοὶ καὶ ἀρχικοί. καὶ γὰρ νόμους ἐφύλαττον, καὶ πόλεις Ἰταλικὰς διῴκησάν τινες, ἀποφαινόμενοι μὲν καὶ συμβουλεύοντες τὰ ἄριστα, ἀπεχόμενοι δὲ δημοσίων προσόδων. Πολλῶν δὲ γιγνομένων κατ' αὐτῶν διαβολῶν ὅμως ἐπεκράτει μέχρι τινὸς ἡ τῶν Πυθαγορείων καλοκαγαθία, καὶ ἡ τῶν πόλεων αὐτῶν βούλησις, ὥστ' ὑπ' ἐκείνων οἰκονομεῖσθαι βούλεσθαι τὰ περὶ τῆς πολιτείας.* (So weit ist der Bericht vernünftig und den geschichtlichen Verhältnissen angemessen.) *Χαρώνδας τε γὰρ ὁ Καταναῖος, εἷς εἶναι δοκῶν τῶν ἀρίστων νομοθετῶν, Πυθαγόρειος ἦν* (unrichtig)· *Ζάλευκός τε* (noch weniger) *καὶ Τιμάρης, οἱ Λοκροὶ, ὀνομαστοὶ γεγενημένοι ἐπὶ νομοθεσίᾳ, Πυθαγόρειοι ἦσαν· οἵ τε τὰς Ῥηγινικὰς πολιτείας συστήσαντες, τήν τε γυμνασιαρχικὴν κληθεῖσαν, καὶ τὴν ἐπὶ Θεοκλέους ὀνομαζομένην, Πυθαγόρειοι λέγονται εἶναι. Φύτιός τε καὶ Θεοκλῆς καὶ Ἑλικάων καὶ Ἀριστοκράτης διήνεγκαν ἐπιτηδεύμασί τε καὶ ἔθεσιν· οἷς καὶ αἱ ἐν ἐκείνοις τοῖς τόποις πόλεις κατ' ἐκείνους τοὺς χρόνους ἐχρήσαντο. Ὅλως δὲ εὑρετὴν αὐτὸν* (*τὸν Πυθαγόραν*) *γενέσθαι φασὶ καὶ τῆς πολιτικῆς ὅλης παιδείας*, (der Beweis für diesen mehr als zweifelhaften Satz ist nun Jamblich's ganz würdig:) *εἰπόντα μηδὲν εἰλικρινὲς εἶναι των ὄντων πραγμάτων, ἀλλὰ μετέχειν καὶ γῆν ὕδατος, καὶ ὕδωρ πνευμάτων, καὶ πνεῦμα πυρός, οὕτως καὶ καλὸν αἰσχροῦ, καὶ δίκαιον ἀδίκου, καὶ τἄλλα κατὰ λόγον τούτοις.* Die allzu panegyrischen Stellen übergehen wir ganz, weil sie mit der geschichtlichen Wirklichkeit in einem fast traurigen Widerspruche stehen, wie z. B. folgende des kopflosen Jamblich aus dem Romane des Nikomachus: Jambl. de V. P. s. 34: *Ἀνεῖλε δὲ ἄρδην στάσιν καὶ διχοφωνίαν καὶ ἁπλῶς ἑτεροφροσύνην οὐ μόνον ἀπὸ τῶν γνωρίμων καὶ τῶν ἀπογόνων αὐτῶν μέχρι πολλῶν, ὡς ἱστορεῖται* (!) *γενεῶν· ἀλλὰ καὶ καθόλου ἀπὸ τῶν ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ πόλεων πασῶν κατά τε ἑαυτὰς καὶ πρὸς ἀλλήλας.* Ein noch groberer Widerspruch gegen die geschichtliche Wirklichkeit ist kaum denkbar.

1522) Porphyr. V. Pyth. s. 21: *Σύμιχος δ' ὁ Κεντοροπίων τύραννος ἀκούσας αὐτοῦ* (*τοῦ Πυθαγόρου*) *τήν τ' ἀρχὴν ἀπέθετο, καὶ τῶν χρημάτων τὰ μὲν τῇ ἀδελφῇ, τὰ δὲ τοῖς πολίταις ἔδωκε.*

1523) Diog. Laert. VIII, s. 36: *Περὶ δὲ τοῦ ἄλλοτε ἄλλον γεγενῆσθαι* (über die Wiedergeburt, die Seelenwanderung) *Ξενοφάνης ἐν ἐλεγείᾳ προςμαρτυρεῖ, ἧς ἀρχὴ, Νῦν οὖν τ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον. Ὃ δὲ περὶ αὐτοῦ* (*τοῦ Πυθαγόρου*) *φησὶν, οὕτως ἔχει.*

Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
Φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος·
Παῦσαι, μηδὲ ῥάπιζ'· ἐπειὴ φίλου ἀνέρος ἐστὶ
Ψυχὴ, τὴν ἔγνων φθεγξαμένης ἀΐων.

Καὶ ταῦτα μὲν ὁ Ξενοφάνης.

1524) Jamblich. de Vit. Pyth. s. 262: *Ὡς ἐν τοῖς τῶν Κροτωνιατῶν ὑπομνήμασιν ἀναγέγραπται.*

1525) Jambl. de Vit. Pyth. s. 254. *Ἐπεὶ δὲ καὶ Ἀπολλώνιος περὶ τῶν αὐτῶν* (über dieselben Begebenheiten der pythagoreischen Verfolgung) *ἔστιν ὅπου διαφωνεῖ, πολλὰ δὲ καὶ προςτίθησι τῶν μὴ εἰρημένων περὶ τούτων, φέρε δὴ καὶ τὴν τούτου παραθώμεθα διήγησιν περὶ τῆς ἐπὶ τοὺς Πυθαγορείους ἐπιβουλῆς.*

1526) Jambl. de Vit. Pyth. s. 254: *Λέγει τοίνυν* (*ὁ Ἀπολλώνιος*), *ὡς ἐκείνοις* (*τοῖς Πυθαγορείοις*) *παρηκολούθει μὲν εὐθὺς ἐκ παίδων ὁ φθόνος παρὰ τῶν ἄλλων. οἱ γὰρ ἄνθρωποι, μέχρι μὲν διελέγετο πᾶσι τοῖς προςιοῦσι Πυθαγόρας, ἡδέως εἶχον· ἐπεὶ δὲ μόνοις ἐνετύγχανε τοῖς μαθηταῖς, ἠλαττοῦντο. καὶ τοῦ μὲν ἔξωθεν ἥκοντος συνεχώρουν ἡττᾶσθαι· τοῖς δὲ ἐγχωρίοις πλεῖον φέρεσθαι δοκοῦσιν ἤχθοντο, καὶ καθ' αὐτῶν ὑπελάμβανον γίνεσθαι τὴν σύνοδον. Ἔπειτα καὶ τῶν νεανίσκων ὄντων ἐκ τῶν ἐν τοῖς ἀξιώμασι, καὶ ταῖς οὐσίαις προεχόντων, συνέβαινε προαγούσης τῆς ἡλικίας αὐτοῖς, μὴ μόνον* (statt des bisherigen *μὴ μόνον αὐτοὺς*) *ἐν τοῖς ἰδίοις οἴκοις πρωτεύειν, ἀλλὰ κοινῇ τὴν πόλιν οἰκονομεῖν, μεγάλην μὲν ἑταιρείαν συναγηοχόσιν, ἦσαν γὰρ ὑπὲρ τριακοσίους, μικρὸν δὲ μέρος τῆς πόλεως οὖσι, τῆς* (statt *τοῖς*) *οὐκ ἐν τοῖς αὐτοῖς ἤθεσιν οὐδ' ἐπιτηδεύμασιν ἐκείνοις πολιτευομένης* (statt *πολιτευομένοις*; so erhält die Stelle Sinn und grammatischen Zusammenhang.)

1527) Apollonius ap. Jambl. l. l. s. 255: *Οὐ μὲν ἀλλὰ μέχρι μὲν οὖν τὴν ὑπάρχουσαν χώραν ἐκέκτηντο* (*οἱ Κροτωνιᾶται*), *καὶ Πυθαγόρας ἐπεδήμει, διέμεινεν ἡ μετὰ τὸν συνοικισμὸν* (seit der Kolonisation, der Gründung von Kroton) *κεχρονισμένη κατάστασις*

(Verfassung), δυσαρεστουμένη, καὶ ζητοῦσα καιρὸν εὕρασθαι μεταβολῆς. Ἐπεὶ δὲ Σύβαριν ἐχειρώσατο, κἀκεῖνος (ὁ Πυθαγόρας) ἀπῆλθε καὶ τὴν δορύκτητον διωκήσατο (statt διῳκήσαντο) (die Aoriste ἐχειρώσαντο, ἀπῆλθε, διῳκήσατο haben, wie häufig der Fall ist, die Bedeutung von Plusquamperfekten; s. Matth. ausf. gr. Gr. § 497, Anmerkung p. 939.) μὴ κατακληρουχηθεῖσαν (statt κληρουχηθῆναι) κατὰ τὴν ἐπιθυμίαν τῶν πολλῶν, ἐξεῤῥάγη τὸ σιωπούμενον μῖσος, καὶ διέστη πρὸς αὐτοὺς (τοὺς Πυθαγορείους) τὸ πλῆθος.

1528) Apollon. ap. Jambl. l. l. s. 255: Ἡγεμόνες δὲ ἐγένοντο τῆς διαφορᾶς οἱ ταῖς συγγενείαις καὶ ταῖς οἰκειότησιν ἐγγύτατα καθεστηκότες τῶν Πυθαγορείων. αἴτιον δ' ἦν, ὅτι τὰ μὲν πολλὰ αὐτοὺς ἐλύπει τῶν πραττομένων, ὥσπερ καὶ τοὺς τυχόντας, ἐφ' ὅσον ἰδιασμὸν εἶχε περὶ τοὺς ἄλλους.

1529) Apollon. ap. Jambl. l. l. s. 255, p. 500: Ἐν δὲ τοῖς μεγίστοις, καθ' αὐτῶν μόνον, ἐνόμιζον εἶναι τὴν ἀτιμίαν· (Nun schiebt Jamblich in seiner schlottrigen Kompilatoren-Weise eine ganze Masse völlig fremdartiger, den Zusammenhang unterbrechender Notizen ein, für die er, wie es scheint, keinen rechten Platz wusste und die er doch nicht wollte umkommen lassen, und lenkt dann (s. 257, p. 504) wieder ein: τὰ μὲν τοιαῦτα, καθάπερ προεῖπον, ἐπὶ τοσοῦτον ἐλύπει κοινῶς ἅπαντας, ἐφ' ὅσον ὤνησαν (statt ἑώσαν) ἰδιάζοντας ἐν αὐτοῖς τοὺς συμπεπαιδευμένους. Die plumpe und ungeschickte Wiederholung der Schlussworte des vorhergehenden letzten Satzes (s. Note 1528 zu Ende) bezeichnet charakteristisch genug das Gefühl, sich von seinem Gegenstande verlaufen zu haben, und mit einem salto mortale zu demselben zurückkehren zu müssen. Wir lassen also diese ganze kopflose Episode weg, und fahren mit den Worten des alten Berichterstatters fort, welche den Anfangs-Satz dieser Note: die von den Pythagoreern gegen ihre Verwandten bewiesene Nichtachtung näher erläutern, und mit diesem Satze auf's Engste zusammenhängen; s. 257, p. 504: ἐπὶ τῷ μόνοις τοῖς Πυθαγορείοις τὴν δεξιὰν ἐμβάλλειν, ἑτέρῳ δὲ μηδενὶ τῶν οἰκείων, πλὴν τῶν γονέων. Καὶ τὸ (statt τῷ) τὰς οὐσίας ἀλλήλων μὲν παρέχειν κοινὰς, πρὸς ἐκείνους δὲ ἐξηλλοτριωμένας, χαλεπώτερον ἔφερον οἱ συγγενεῖς.

1530) Apollon. ap. Jambl. l. l. s. 257, p. 504: Ἀρχόντων δὲ τούτων (τῶν συγγενῶν) τῆς διαστάσεως, ἑτοίμως οἱ λοιποὶ προσέπιπτον εἰς τὴν ἔχθραν.

1531) Apollon. ap. Jambl. l. l. s. 257, p. 504: Καὶ λεγόντων (Reden halten vor einer berathenden Versammlung) ἐξ αὐτῶν

τῶν χρόνων Ἱππάσου καὶ Διοδώρου καὶ Θεάγους ὑπὲρ τοῦ πάντας κοινωνεῖν τῆς ἀρχῆς καὶ τῆς ἐκκλησίας, καὶ διδόναι τὰς εὐθύνας τοὺς ἄρχοντας τοῖς ἐκ παντὸς λαχοῦσιν. Ἐναντιουμένων δὲ τῶν Πυθαγορείων Ἀλκιμάχου καὶ Δειμάχου καὶ Μέτωνος (Μένωνος?) καὶ Δημοκήδους, καὶ διακωλυόντων τὴν πάτριον πολιτείαν μὴ καταλύειν, ἐκράτησαν οἱ τῷ πλήθει συνηγοροῦντες. Die Verwechslung des Meton mit Menon ist um so wahrscheinlicher, da Meton im Schüler-Verzeichnisse als Parier und nicht als Krotoniate aufgeführt wird; Jambl. de Vit. Pyth. s. 207, p. 527.

1532) Apollon. ap. Jambl. l. l. s. 260, p. 510: *ἀλλ' ἐνθυμεῖσθαι, διότι τὸ παράπαν οὐδ' ἂν συνῆλθον εἰς τὴν ἐκκλησίαν* (dass gar keine Volks-Versammlung statt gefunden hätte), *εἰ τοὺς Χιλίους ἔπεισαν ἐκεῖνοι* (Demokedes und die übrigen Pythagoreer Menon, Alkimachos und Deimachos, von welchen eben berichtet wurde, dass sie gegen die Anträge des Hippasos, Diodoros und Theages, die Vorfechter der Volkspartei, Opposition erhoben) *κυρῶσαι τὴν συμβουλήν* (wenn es die Pythagoreer durchgesetzt hätten, dass ihr Gegen-Antrag von dem Rathe der „Tausende“ wäre angenommen worden.)

1533) Jambl. de V. P. s. 34: *Πυκνὸν γὰρ ἦν αὐτῷ τὸ ἀπόφθεγμα: φυγαδευτέον πάσῃ μηχανῇ καὶ περικοπτέον πυρὶ καὶ σιδήρῳ ἀπὸ μὲν σώματος νόσον, ἀπὸ δὲ ψυχῆς ἀμάθειαν, κοιλίας δὲ πολυτέλειαν, πόλεως δὲ στάσιν, οἴκου δὲ διχοφροσύνην, ὁμοῦ δὲ πάντων ἀμετρίαν.*

1534) Apollon. ap. Jambl. l. l. s. 258: *Μετὰ δὲ ταῦτα συνόντων τῶν πολλῶν, διελόμενοι τὰς δημηγορίας, κατηγόρουν αὐτῶν ἐκ τῶν ῥητόρων Κύλων καὶ Νίνων· ἦν δὲ ὁ μὲν ἐκ τῶν εὐπόρων, ὁ δὲ ἐκ τῶν δημοτικῶν.*

1535) Jambl. de V. P. s. 74, p. 156: *Εἰ δὲ . . . . δυσκίνητος ἔτι τις καὶ δυσπαρακολούθητος εὑρίσκετο* (während seiner Lehrzeit in der pythagorischen Schule), *στήλην δή τινα τῷ τοιούτῳ καὶ μνημεῖον* (ein Grabmal) *ἐν τῇ διατριβῇ χώσαντες, καθὰ καὶ Περιάλῳ τῷ Θουρίῳ λέγεται καὶ Κύλωνι τῷ Συβαριτῶν ἐξάρχῳ ἀπογνωσθεῖσιν ὑπ' αὐτῶν, ἐξήλαυνον ἐκ τοῦ ὁμακοΐου.* Hiernach wäre Kylon der Sohn eines jener nach Kroton geflüchteten sybaritischen Adligen gewesen, zu deren Schutze der Krieg gegen das demokratische Sybaris unternommen wurde, und welche nach der Besiegung von Sybaris das krotonische Bürgerrecht und einen Antheil an den eroberten Ländereien erhielten. Auch Hippasos, gewöhnlich ein

Metapontiner genannt (Diogen. Laert. VIII, s. 84) wird bei Jamblich (de Vit. Pyth. s. 267, p. 526) in dem Schuler-Verzeichnisse unter den Sybariten aufgeführt.

1536) Jambl. de V. P. s. 248, p. 486: *Κύλων, ἀνὴρ Κροτωνιάτης γένει μὲν καὶ δόξῃ καὶ πλούτῳ πρωτεύων τῶν πολιτῶν, ἄλλως δὲ χαλεπός τις καὶ βίαιος καὶ θορυβώδης καὶ τυραννικὸς τὸ ἦθος, πᾶσαν προθυμίαν παρασχόμενος πρὸς τὸ κοινωνῆσαι τοῦ Πυθαγορείου βίου καὶ προσελθὼν πρὸς αὐτὸν τὸν Πυθαγόραν ἤδη πρεσβύτην ὄντα* (also war Kylon noch jung, denn er war erst in der letzten Zeit abgewiesen worden), *ἀπεδοκιμάσθη διὰ τὰς προειρημένας αἰτίας. γενομένου δὲ τούτου πόλεμον ἰσχυρὸν ἤρατο καὶ αὐτος καὶ οἱ φίλοι αὐτοῦ πρὸς αὐτόν τε τὸν Πυθαγόραν καὶ τοὺς ἑταίρους· καὶ οὕτω σφοδρά τις ἐγένετο καὶ ἄκρατος ἡ φιλοτιμία αὐτοῦ τε τοῦ Κύλωνος καὶ τῶν μετ' ἐκείνου τεταγμένων, ὥστε διατεῖναι μέχρι τῶν τελευταίων Πυθαγορείων.* Eben so Porphyr. de V. Pyth. s. 54.

1537) Apollon. ap. Jambl. l. l. s. 258: *Τοιούτων δὲ λόγων* (es geht aber Nichts voraus, worauf sich dies *τοιούτων* beziehen konnte. Bei Apollonius fand sich offenbar die Rede, und daher diese Rückbeziehung; Jamblich liess die Rede weg, und doch die Rückbeziehung stehen) *μακροτέρων παρὰ τοῦ Κύλωνος ῥηθέντων, ἐπῆγεν ἕτερος, προσποιούμενος μὲν ἐξητακέναι τὰ τῶν Πυθαγορείων ἀπόῤῥητα, περιπλακεὶς δὲ καὶ γεγραφὼς ἐξ ὧν μάλιστα αὐτοὺς ἤμελλε διαβάλλειν, καὶ δοὺς τῷ γραμματεῖ βιβλίον ἐκέλευσεν ἀναγινώσκειν· ἦν δὲ αὐτῷ ἐπιγραφὴ μὲν λόγος ἱερός.*

1538) Diogen. Laert. VIII, s. 7, bei Aufzählung der Schriften des Pythagoras: *Τὸν δὲ μυστικὸν λόγον Ἱππάσου φασὶν εἶναι, γεγραμμένον ἐπὶ διαβολῇ Πυθαγόρου.* Dass der Titel *μυστικὸς λόγος* mit dem gewöhnlicheren *ἱερὸς λόγος* identisch ist, bedarf keines langen Beweises, da der *ἱερὸς λόγος* ja nur bei den orphischen Weihen mitgetheilt wurde, also im strengsten Sinne ein *μυστικὸς λόγος*, eine nur Eingeweihten mittheilbare Schrift war. Dieser ausdrücklich zur Anklage und Verläumdung (*ἐπὶ διαβολῇ*) des Pythagoras geschriebene *μυστικὸς λόγος* kann also nur der von Ninon vorgebrachte, gefälschte *ἱερὸς λόγος* seyn, dessen Herkunft von einem Pythagoreer uberdies unzweifelhaft auch noch daraus erhellt, dass er aus lauter verdrehten Akusmatas zusammengesetzt war.

1539) Apollon. ap. Jambl. l. l. s. 259: *Ὁ δὲ τύπος τοιοῦτος τῶν γεγραμμένων· Τοὺς φίλους ὥσπερ τοὺς θεοὺς σέβεσθαι, τοὺς*

δὲ ἄλλους ὥσπερ τὰ θηρία χειροῦσθαι· τὴν αὐτὴν ταύτην γνώμην ὑπὲρ Πυθαγόρου μεμνημένους ἐν μέτρῳ τοὺς μαθητὰς λέγειν·

Τοὺς μὲν ἑταίρους ἦγεν ἴσον μακάρεσσι θεοῖσι,
Τοὺς δ' ἄλλους ἡγεῖτ' οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ.

Τὸν Ὅμηρον μάλιστα ἐπαινεῖν, ἐν οἷς εἴρηκε, ποιμένα λάων· ἐμφανίσκειν γὰρ βοσκήματα τοὺς ἄλλους ὄντας, ὀλιγαρχικὸν ὄντα. Τοῖς κυάμοις πολεμεῖν, ὡς ἀρχηγοῖς γεγονόσι τοῦ κλήρου καὶ τοῦ καθιστάναι τοὺς λαχόντας ἐπὶ τὰς ἐπιμελείας. Τυραννίδος ὀρέγεσθαι παρακαλοῦντα, κρεῖττον εἶναι φάσκειν γενέσθαι μίαν ἡμέραν ταῦρον, ἢ πάντα τὸν αἰῶνα βοῦν. Ἐπαινεῖν τὰ τῶν ἄλλων νόμιμα, κελεύειν δὲ χρῆσθαι τοῖς ὑπ' αὐτῶν ἐγνωσμένοις.

1540) Apollon. ap. Jambl. l. l. s. 260, p. 510: *Καθάπαξ τὴν φιλοσοφίαν αὐτῶν συνωμοσίαν ἀπέφαινε κατὰ τῶν πολλῶν, καὶ παρεκάλει μηδὲ τὴν φωνὴν ἀνέχεσθαι συμβουλευόντων, ἀλλ' ἐνθυμεῖσθαι, διότι τὸ παράπαν οὐδ' ἂν συνῆλθον εἰς τὴν ἐκκλησίαν, εἰ τοὺς Χιλίους ἔπεισαν ἐκεῖνοι κυρῶσαι τὴν συμβουλήν· ὥστε τοῖς κατὰ τὴν ἐκείνων δύναμιν κεκωλυμένοις τῶν ἄλλων ἀκούειν οὐ προσήκειν ἐᾶν αὐτοὺς λέγειν. Ἀλλὰ τὴν δεξιὰν τὴν ὑπ' αὐτῶν ἀποδεδοκιμασμένην πολεμίαν ἐκείνοις ἔχειν, ὅταν τὰς γνώμας χειροτονῶσιν, ἢ τὴν ψῆφον λαβῶσιν· αἰσχρὸν εἶναι νομίζοντας τοὺς τριάκοντα μυριάδων περὶ τὸν Τράεντα ποταμὸν περιγενομένους ὑπὸ τοῦ χιλιοστοῦ μέρους ἐκείνων ἐν αὐτῇ τῇ πόλει φανῆναι κατεστασιασμένους.*

1541) Apollon. ap. Jambl. l. l. s. 261. *Τὸ δ' ὅλον οὕτω τῇ διαβολῇ τοὺς ἀκούοντας ἐξηγρίωσεν (ὁ Νίνων), ὥστε μετ' ὀλίγας ἡμέρας μουσεῖα θυόντων αὐτῶν ἐν οἰκίᾳ παρὰ τὸ Πύθιον, ἀθρόοι συνδραμόντες, οἷοί τ' ἦσαν τὴν ἐπίθεσιν ἐπ' αὐτοὺς ποιήσασθαι. οἱ δὲ προαισθόμενοι οἱ μὲν εἰς πανδοχεῖον ἔφυγον, Δημοκήδης δὲ μετὰ τῶν ἐφήβων εἰς Πλατείας ἀπεχώρησεν.*

1542) Porphyr. de V. P. s. 55. Jambl. de V. P. s. 249; in beiden Nachrichten, die den Aristoxenus ausschreiben, werden übrigens die Vorfälle in Kroton mit denen in Metapont vermengt. Diog. Laert. VIII, s. 40, nennt auch die *πανδαισίαν Μίλωνος τοῦ Κροτωνιάτου.*

1543) Apollon. ap. Jambl. l. l. s. 261. *Οἱ δὲ* (die Volksparthei) *καταλύσαντες τοὺς νόμους ἐχρῶντο ψηφίσμασιν, ἐν οἷς αἰτιασάμενοι τὸν Δημοκήδην συνεστακέναι τοὺς νεωτέρους ἐπὶ τυραννίδι, τρία τάλαντα ἐκήρυξαν δώσειν, ἐάν τις αὐτὸν ἀνέλῃ. καὶ γενομένης μάχης, κρατήσαντες αὐτοῦ κατὰ τὸν κίνδυνον ὑπὸ*

Θεάγους, ἐκείνῳ τὰ τρία τάλαντα παρὰ τῆς πόλεως ἐμέρισαν.

1544) Apollon. ap. Jambl. l. l. s. 262: *Πολλῶν δὲ κακῶν κατὰ τὴν πόλιν καὶ τὴν χώραν ὄντων, εἰς κρίσιν προβληθέντων τῶν φυγάδων, καὶ τρισὶ πόλεσι τῆς ἐπιτροπῆς παραδοθείσης, Ταραντίνοις, Μεταποντίνοις, Καυλωνιάταις, ἔδοξε τοῖς πεμφθεῖσιν, — ἐπὶ τὴν γνώμην ἀργύριον λαβοῦσιν, ὡς ἐν τοῖς τῶν Κροτωνιατῶν ὑπομνήμασιν ἀναγέγραπται, — φεύγειν τοὺς αἰτίους.*

1545) Apollon ap. Jambl. l. l. s. 262: *Προςεξέβαλον δὲ, τῇ κρίσει κρατήσαντες, ἅπαντας τοὺς τοῖς καθεστῶσι δυσχεραίνοντας, καὶ συνεφυγάδευσαν τὴν γενεὰν, οὐ, φάσκοντες, δεῖν ἀσεβεῖν, οὐδὲ τοὺς παῖδας ἀπὸ τῶν γονέων διασπᾶν. Καὶ τά τε χρέα ἀπέκοψαν καὶ τὴν γῆν ἀνάδαστον ἐποίησαν.*

1546) Wie sie es z. B. in Tarent thaten: Diog. Laert. VIII, s. 40. Die Folgen davon schildert Polyb. hist. II, 39, init.: *Καθ' οὓς γὰρ καιροὺς ἐν τοῖς κατὰ τὴν Ἰταλίαν τόποις, κατὰ τὴν Μεγάλην Ἑλλάδα τότε προςαγορευομένην, ἐνέπρησαν τὰ συνέδρια τῶν Πυθαγορείων· μετὰ ταῦτα γενομένου κινήματος ὁλοσχεροῦς περὶ τὰς πολιτείας ..... συνέβη τὰς κατ' ἐκείνους τοὺς τόπους Ἑλληνικὰς πόλεις ἀναπλησθῆναι φόνου καὶ στάσεως καὶ παντοδαπῆς ταραχῆς.* Porphyr. de V. P. s. 56 in fin. nach Dikäarch: *πανταχοῦ γὰρ ἐγένοντο μεγάλαι στάσεις, ἃς ἔτι καὶ νῦν οἱ περὶ τοὺς τόπους μνημονεύουσί τε καὶ διηγοῦνται, τὰς ἐπὶ τῶν Πυθαγορείων καλοῦντες.*

1547) Schon früher (Seite 468 dieses Theiles) wurde nachgewiesen, wie sich auf diese Weise der anscheinend unlösbare Widerspruch der Nachrichten über die Anwesenheit oder Nicht-Anwesenheit des Pythagoras bei dem Ueberfalle in Kroton ganz einfach ausgleicht.

1548) Porphyr. de Vit. Pyth. s. 56 nach Dikäarch: *Πυθαγόραν δὲ, κρατουμένων τῶν φίλων, τὸ μὲν πρῶτον εἰς Καυλωνίαν τὸν ὅρμον σωθῆναι· ἐκεῖθεν δὲ πάλιν εἰς Λοκρούς. πυθομένους δὲ τοὺς Λοκροὺς τῶν γερόντων τινὰς ἐπὶ τὰ τῆς χώρας ὅρια ἀποστεῖλαι. τούτους δὲ πρὸς αὐτὸν ἀπαντήσαντας εἰπεῖν· ἡμεῖς, ὦ Πυθαγόρα, σοφὸν μὲν ἄνδρα σε καὶ δεινὸν ἀκούομεν, ἀλλ' ἐπὶ τοῖς ἰδίοις νόμοις οὐθὲν ἔχομεν ἐγκαλεῖν· αὐτοὶ μὲν ἐπὶ τῶν ὑπαρχόντων πειρασόμεθα μένειν. σὺ δ' ἑτέρωθί που βάδιζε, λαβὼν παρ' ἡμῶν εἴ του κεχρημένος τῶν ἀναγκαίων τυγχάνεις. ἐπεὶ δ' ἀπὸ τῆς τῶν Λοκρῶν πόλεως τὸν εἰρημένον ἀπηλλάγη τρόπον, εἰς Τάραντα πλεῦσαι.*

1549) Claudian. de Consul. Fl. Mallii Theod. XVII, v. 157 sq.:

At non Pythagorae monitus annique silentes
Famosum Oebalii luxum pressere Tarenti.

1550) Varro de ling. lat. l. IV, p. 13: Omnis natura in coelum et terram divisa est, sic coelum in regiones, terra in Asiam et Europam . . . . . . quarum imaginem ex aere Pythagoras Tarenti fecit. Martian. Capell. Satir. I, pag. 197: Terrae regionum habitus prodidit doctissimus Pythagoras.

1551) Lucian. vitar. auct. c. 6 in fin.: *Ἰταλιώτης δοκεῖ τις εἶναι* (der Käufer des als Sklaven feilgebotenen Pythagoras) *τῶν ἀμφὶ Κρότωνα καὶ Τάραντα, καὶ τὴν ταύτῃ Ἑλλάδα· καίτοι οὐχ εἷς, ἀλλὰ τριακόσιοι σχεδὸν ἐώνηνται κατὰ κοινὸν αὐτόν.* Die Hauptsitze der Anhänger des Pythagoras werden also nach Kroton und Tarent verlegt.

1552) Excerpta ex Dionys. Halicarn. antiquitt. Rom. l. XIX, s. IV: *Ὅτι Κλεινίας ὁ Κροτωνιάτης, τύραννος ὤν, ἀφείλετο τὴν ἐλευθερίαν τὰς πόλεις, φυγάδας ἀθροίσας ἐκ παντὸς τόπου καὶ δούλους ἐλευθερώσας· οἷς τὴν τυραννίδα κρατυνάμενος τοὺς ἐπιφανεστάτους Κροτωνιάτων οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ ἐξέβαλεν ἐκ τῆς πόλεως. Ἀναξίλας δὲ Ῥηγίνων τὴν ἀκρόπολιν κατελάβετο, καὶ πάντα τὸν τοῦ βίου χρόνον κατασχὼν Λεόφρονι τῷ παιδὶ τὴν ἀρχὴν κατέλιπε. καὶ ἄλλοι ἀπὸ τούτων δυναστείας ἐν ταῖς πόλεσι κατασκευάσαντες πάντα τὰ πράγματα διέφθειραν.*

1553) Jambl. de Vit. Pyth. s. 267, p. 526, init. ein Clinias als Tarentiner; gleich darauf ein anderer aus Leontini; unter den Krotoniaten jedoch keiner.

1554) Apollon. bei Jamblich. de V. P. s: 263.

1555) Diodor. Sicul. XI, 52: *Κατὰ δὲ τὴν Ἰταλίαν πόλεμος ἐνέστη Ταραντίνοις πρὸς τοὺς Ἰάπυγας. Περὶ γὰρ ὁμόρου χώρας ἀμφισβητούντων πρὸς ἀλλήλους, ἐπὶ μέν τινας χρόνους διετέλουν ἀψιμαχοῦντες καὶ λεηλατοῦντες τὰς ἀλλήλων χώρας· ἀεὶ δὲ μᾶλλον τῆς διαφορᾶς συναυξομένης καὶ πολλάκις φόνων γινομένων τὸ τελευταῖον εἰς ὁλοσχερῆ φιλοτιμίαν ὥρμησαν. Οἱ μὲν οὖν Ἰάπυγες τήν τε παρ' αὐτῶν δύναμιν παρεσκευάζοντο, καὶ τὴν παρὰ τῶν ὁμόρων συμμαχίαν συνέλαβον, καὶ τοὺς σύμπαντας ἤθροισαν ὑπὲρ τοὺς δισμυρίους· οἱ δὲ Ταραντῖνοι, πυθόμενοι τὸ μέγεθος τῆς ἐπ' αὐτοὺς ἠθροισμένης δυνάμεως, τούς τε πολιτικοὺς στρατιώτας ἤθροισαν, καὶ Ῥηγίνων συμμάχων ὄντων πολλοὺς προσελάβοντο. γενομένης δὲ μά-*

χης ἰσχυρᾶς, καὶ πολλῶν παρ' ἀμφοτέροις πεσόντων, τὸ τελευταῖον οἱ Ἰάπυγες ἐνίκησαν.

1556) Herod. VII, 170: (*Οἱ δὲ*) *Ταραντῖνοι .... προςέπταισαν μεγάλως· ὥστε φόνος Ἑλληνικὸς μέγιστος οὗτος δὴ ἐγένετο πάντων, τῶν ἡμεῖς ἴδμεν, αὐτέων τε Ταραντίνων καὶ Ῥηγίνων. οἳ ὑπὸ Μικύθου τοῦ Χοίρου ἀναγκαζόμενοι τῶν ἀστῶν καὶ ἀπικόμενοι τιμωροὶ Ταραντίνοισι, ἀπέθανον τρισχίλιοι οὕτω· αὐτέων δὲ Ταραντίνων οὐκ ἐπέην ἀριθμός. ὁ δὲ Μίκυθος, οἰκέτης ἐὼν Ἀναξίλεω, ἐπίτροπος Ῥηγίου καταλέλειπτο.*

1557) Aristot. polit. V, 2, 8: (*Οὕτως*) *ἐν Τάραντι, ἡττηθέντων καὶ ἀπολομένων πολλων γνωρίμων ὑπὸ τῶν Ἰαπύγων, μικρὸν ὕστερον τῶν Μηδικῶν, δημοκρατία ἐγένετο ἐκ πολιτείας.*

1558) Aristot. polit. VI, 3, 5: *Καλῶς δ' ἔχει μιμεῖσθαι καὶ τὰ Ταραντίνων. ἐκεῖνοι γὰρ κοινὰ ποιοῦντες τὰ κτήματα τοῖς ἀπόροις ἐπὶ τὴν χρῆσιν, εὔνουν παρασκευάζουσι τὸ πλῆθος. ἔτι δὲ τὰς ἀρχὰς πάσας ἐποίησαν διττάς, τὰς μὲν αἱρετὰς τὰς δὲ κληρωτάς· τὰς μὲν κληρωτὰς, ὅπως ὁ δῆμος αὐτῶν μετέχῃ, τὰς δ' αἱρετὰς, ἵνα πολιτεύωνται βέλτιον· ἔστι δὲ τοῦτο ποιῆσαι καὶ τῆς ἀρχῆς αὐτῆς μερίζοντας τοὺς μὲν κληρωτοὺς τοὺς δὲ αἱρετούς.* Dabei war die Dauer dieser Staats-Aemter nur jährig; wenigstens wird dies vom Strategen-Amt ausdrücklich berichtet: Diog. Laert. VIII, s. 79, 3: (*Ἀρχύτας*) *ἑπτάκις τῶν πολιτῶν ἐστρατήγησε, τῶν ἄλλων μὴ πλέον ἐνιαυτοῦ στρατηγούντων, διὰ τὸ κωλύειν τὸν νόμον.*

1559) Strabon. geogr. VI, 280: *Ἴσχυσαν δὲ οἱ Ταραντῖνοι καθ' ὑπερβολὴν, πολιτευόμενοι δημοκρατικῶς· καὶ γὰρ ναυτικὸν ἐκέκτηντο μέγιστον τῶν ταύτῃ, καὶ πεζοὺς ἔστελλον τρισμυρίους, ἱππέας δὲ τρισχιλίους, ἱππάρχους δὲ χιλίους. ἀπεδέξαντο δὲ καὶ τὴν Πυθαγόρειον φιλοσοφίαν, διαφερόντως δ' Ἀρχύτας, ὃς καὶ προέστη τῆς πόλεως πολὺν χρόνον.*

1560) Dicaearch. ap. Porphyr. de Vit. Pyth. s. 56 vers. fin.: *Πάλιν δὲ κἀκεῖ (ἐν Τάραντι) παραπλήσια παθόντα* (sc. *τὸν Πυθαγόραν*) *τοῖς περὶ Κρότωνα, εἰς Μεταπόντιον ἐλθεῖν.* Den Grund gibt eine Nachricht des Hermippos bei Diog. Laert. VIII, s. 40, in fin. in kurzen Worten an: *θέλοντες ἀντιπολιτεύεσθαι τοῖς προεστῶσι,* obgleich diese Nachricht die Vorfälle zu Tarent mit denen zu Metapont unrichtiger Weise vermengt, und die Verbrennung der Pythagoreer, die erst in Metapont erfolgte, schon in Tarent eintreten lässt; wie denn andere Nachrichten eben so unrichtig sie gleich schon nach Kroton verlegen. Nach Beseitigung dieses Irrthums, der einer

Widerlegung nicht bedarf, weil ihm ganz positive Nachrichten gegenüber stehen, bleibt dann die Angabe übrig, dass die Pythagoreer in Tarent der Regierung Opposition gemacht hätten: *τοὺς δὲ λοιποὺς (Πυθαγορείους) ἐν Τάραντι καταχανθῆναι, θέλοντας ἀντιπολιτεύεσθαι τοῖς προεστῶσι.* Trotz des übrigen Unsinns, in welchem sie versteckt ist, — denn vorher geht die auf irgend einer Verwechslung beruhende abgeschmackte Erzählung von der Theilnahme des Pythagoras an einem Kriege der Agrigentiner gegen die Syrakusaner, seiner Flucht und seinem Tode vor einem Bohnenfelde, — hat diese Notiz nichts desto weniger einen wirklichen geschichtlichen Werth, denn sie gibt nns in wenigen Worten eine völlig genügende Erklärung für alle den Pythagoreern widerfahrenen Verfolgungen.

1561) Dass Pythagoras nach Metapont gekommen und dort gestorben sey, sagen die besten Nachrichten einstimmig, so Dikäarch bei Porphyr. de V. P. s. 57; Aristoxenus bei Jambl. de V. P. s. 248. und s. 170; Heraclides Ponticus bei Diog. Laert. VIII, s. 40; Justinus hist. XX, 4; Themist. orat XXIII, p. 285, b; Cicero de Fin. V, 2; Valerius Maximus VIII, 7, extr. 2.

1562) Orell. epistoll. Socrat. et Pythagor. p. 51 aus des Aldus Manut. Collect. epistoll. graec. T. I, fol. 91.

1563) Dicaearch. ap. Porphyr. de Vit. Pyth. s. 75: *Ἐν δὲ τῇ περὶ Μεταπόντιον (στάσει) καὶ Πυθαγόραν αὐτὸν λέγουσι τελευτῆσαι.*

1564) Plutarch. de gen. Socr. c. 13. *Ἐπεὶ γὰρ ἐξέπεσον αἱ κατὰ πόλεις ἑταιρίαι τῶν Πυθαγορικῶν στάσει κρατηθέντων, τοῖς δ' ἔτι συνεστῶσιν ἐν Μεταποντίῳ συνεδρεύουσιν ἐν οἰκίᾳ πῦρ οἱ Κυλώνειοι περιένησαν, καὶ διέφθειραν ἐν τούτῳ πάντας, πλὴν Φιλολάου καὶ Λύσιδος, νέων ὄντων ἔτι ῥώμῃ, καὶ κουφότητι διωσαμένων τὸ πῦρ.*

1565) Von Anderen werden fast einstimmig Archippus und Lysis genannt; so Origen. philosoph. p. 8; Diog. Laert. VIII, 39; Dicaearch. bei Porphyr. de V. P. s. 57; Neanthes bei Porphyr. s. 55; Aristoxenus bei Jambl. de V. P. s. 249; Diogenes Laertius in der angeführten Stelle nennt zwar neben Lysis den Archytas, dies ist aber offenbar nur eine Verwechslnng mit Archippos; Plutarch steht also in Nennung des Philolaos neben Lysis ganz allein, und seine Angabe ist also offenbar falsch; Philolaos ist zudem, wie wir gesehen haben, gar kein Anhänger des ägyptisch-pythagorischen

Lehrbegriffs, sondern ein Zoroastrianer; er kann also gar kein unmittelbarer Schüler des Pythagoras seyn, — er ist kein Pythagoriker, sondern ein Pythagoreer.

1566) Nicomach. ap. Porphyr. de V. P. s. 57: *Τῆς δὲ συμφορᾶς οὕτως κατασχούσης τοὺς ἄνδρας, συνεξέλιπε καὶ ἡ ἐπιστήμη, ἄῤῥητος ἐν τοῖς στήθεσιν ἔτι φυλαχθεῖσα ἄχρι τότε . . . οἵ τ' ἐκφυγόντες Λύσις τε καὶ Ἄρχιππος, καὶ ὅσοι ἀποδημοῦντες ἐτύγχανον, ὀλίγα διέσωσαν ζώπυρα τῆς φιλοσοφίας.*

1567) Dicaearch. ap. Porphyr. l. l. s. 57. Dikäarch berichtet in dieser Stelle zwei von einander abweichende Erzählungen über des Pythagoras Tod: die eine, die ausführlichere und genauere, ist die in den Text aufgenommene; die andere wird zu Anfang seines Berichtes nur kurz und im Vorübergehen von ihm erwahnt; er scheint ihr also selbst keinen grossen Werth beizulegen. Die ganze Stelle lautet: *Ἐν δὲ τῇ περὶ Μεταπόντιον στάσει* (denn dies Wort muss dem Zusammenhang gemäss aus der kurz vorhergehenden Phrase *πανταχοῦ γὰρ ἐγένοντο μεγάλαι στάσεις* ergänzt werden) *καὶ Πυθαγόραν αὐτὸν λέγουσι τελευτῆσαι „καταφυγόντα ἐπὶ τὸ Μουσῶν ἱερὸν, σπάνει τῶν ἀναγκαίων, τεσσαράκοντα ἡμέρας διαμείναντα.“ Οἱ δέ φασιν, ὅτι τοῦ πυρὸς νεομένου τὴν οἴκησιν, ἐν ᾗ συνειλεγμένοι ἐτύγχανον, θέντας αὐτοὺς εἰς τὸ πῦρ τοὺς ἑταίρους δίοδον παρέχειν τῷ διδασκάλῳ, γεφυρώσαντας τὸ πῦρ τοῖς σφετέροις σώμασι. διεκπεσόντα δ' ἐκ τοῦ πυρὸς τὸν Πυθαγόραν, διὰ τὴν ἐρημίαν τῶν συνήθων ἀθυμήσαντα, ἑαυτὸν τοῦ βίου ἐξαγαγεῖν.* Die erste der beiden Erzählungen lässt den Pythagoras in den Tempel der Musen fluchten, dort sich 40 Tage aufhalten, und am Ende vor Mangel an dem Nöthigen sterben, also des Hungertodes. Diese Erzählung mit ihrer 40tägigen Aushungerung trägt sehr das Gepräge einer in der Volks-Tradition in's Abentheuerliche gezogenen Sage und selbst das „Musen-Heiligthum“ scheint auf einen spätern Ursprung hinzuweisen: in die Zeit, wo das Haus des Pythagoras, in welchem er gestorben war (Cicer. de fin. V, c. 2: Pythagorae ipsum illum locum, ubi vitam ediderat, sedemque viderim), zu einem Tempel geweiht, und der Platz, auf welchem es stand, das Museion genannt worden war. Von einem Selbstmorde des Pythagoras ist aber in beiden Stellen nicht die Rede; die eine lässt ihn aus Mangel am nöthigen Lebensunterhalte sterben: *τελευτῆσαι σπάνει τῶν ἀναγκαίων*, die andere vor Herzeleid: *ἀθυμήσαντα ἑαυτὸν τοῦ βίου ἐξαγαγεῖν*; denn *ἑαυτὸν τοῦ βίου ἐξαγαγεῖν* oder elliptisch *ἑαυτὸν ἐξαγαγεῖν* heisst einfach: sich den Tod

zuziehen, sterben. Den gezwungenen Hungertod berichtet auch Tzetzes in sehr handgreiflicher Weise (Chil. XI, v. 90): *Φυγὼν τε πρὸς Μετάποντον, Μουσῶν ἐν τῷ τεμένει, Ἐκεῖ τε συγκρυπτόμενος, ἄρτον φαγεῖν οὐκ ἔχων, Ἐφ' ὅλαις τεσσαράκοντα ἡμέραις λιμῷ θνήσκει*, und Diog. Laert. VIII, s. 40, fasst die Sache ebenso: *φησὶ δὲ Δικαίαρχος τὸν Πυθαγόραν ἀποθανεῖν καταφυγόντα εἰς τὸ ἐν Μεταποντίῳ ἱερὸν τῶν Μουσῶν, τετταράκοντα ἡμέρας ἀσιτήσαντα.* Der einzige Heraclides Ponticus, den wir als einen ungenauen und unzuverlässigen Schriftsteller kennen gelernt haben, stellt den Hergang als eine Selbsttödtung dar (Diog. Laert. VIII, s. 40): *Ἡρακλείδης δέ φησιν ἐν τῇ τῶν Σατύρου βίων ἐπιτομῇ, ... (Πυθαγόραν) εἰς Μεταπόντιον ἐξελθεῖν, κἀκεῖ τὸν βίον καταστρέψαι ἀσιτίᾳ, μὴ βουλόμενον περαιτέρω ζῆν.* Diese Version, die also nur Einen und noch dazu einen unzuverlässigen Gewährsmann hat, und bei den bekannten strengen Grundsätzen des Pythagoras gegen den Selbstmord, — durch welche er gerade von den gewöhnlichen Ansichten des Alterthums über diesen Punkt abweicht, — auch wenig innere Wahrscheinlichkeit besitzt, muss also den übrigen alten Nachrichten gegenuber als unbegründet verworfen werden.

1568) Porphyr. de V. P. s. 56: *Δικαίαρχος δὲ καὶ οἱ ἀκριβέστεροι* etc.

1569) Aristid. Quinctil. de Music. III, 116, ed. Meibom.

1570) Tzetz. Chil. XI, v. 93: *Ἐτῶν ὑπάρχων ἑκατόν, πλὴν ἔτους ἑνὸς μόνου.*

1571) Val. Maxim. VIII, 7, extern. 2: Cujus (Pythagorae) ardentem rogum plenis venerationis oculis Metapontus aspexit, oppidum Pythagorae, quam suorum cinerum, nobilius clariusve monumento.

1572) Jambl. de V. P. s. 170: *Τοὺς δὲ Μεταποντίνους διὰ μνήμης ἔχοντας ἔτι τὸν Πυθαγόραν μετὰ τοὺς αὐτοῦ χρόνους, τὴν μὲν οἰκίαν αὐτοῦ Δήμητρος ἱερὸν τελέσαι, τὸν δὲ στενωπὸν Μουσεῖον.*

1573) Aristoxenus ap. Jambl. de V. P. s. 251: *Οἱ δὲ λοιποὶ τῶν Πυθαγορείων ἀπέστησαν τῆς Ἰταλίας, ἀθροισθέντες δὲ εἰς τὸ Ῥήγιον ἐκεῖ διέτριβον μετ' ἀλλήλων.*

1574) Aristot. metaphys. XII, c. 8; s. 3: *Ἡ μὲν γὰρ ἀρχὴ καὶ τὸ πρῶτον τῶν ὄντων ἀκίνητον καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, κινοῦν δὲ τὴν πρώτην ἀΐδιον καὶ μίαν κίνησιν, ἐπεί τε* (statt des sinnlosen *δὲ*) *τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι, καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον εἶναι καθ' αὑτό, καὶ τὴν ἀΐδιον*

κίνησιν ὑπὸ ἀϊδίου κινεῖσθαι, καὶ τὴν μίαν ὑφ᾽ ἑνός (der Gedanke ist, wie häufig, von Aristoteles nachlässig und nur halb ausgedrückt, und muss aus dem Beweise des Nachsatzes im Vordersatze ergänzt werden, wie im Texte zu dieser Note geschehen ist.). ὁρῶμεν δὲ παρὰ τὴν τοῦ παντὸς τὴν ἁπλῆν φοράν, ἣν κινεῖν φαμεν τὴν πρώτην οὐσίαν καὶ ἀκίνητον, ἄλλας φορὰς οὔσας τὰς τῶν πλανήτων ἀϊδίους· ἀνάγκη καὶ τούτων ἑκάστην τῶν φορῶν ὑπ᾽ ἀκινήτου τε κινεῖσθαι καθ᾽ αὑτὸ καὶ ἀϊδίου οὐσίας. s. 26: *Παραδέδοται δὲ παρὰ τῶν ἀρχαίων καὶ παμπαλαίων ἐν μύθου σχήματι καταλελειμμένα τοῖς ὕστερον, ὅτι θεοί τέ εἰσιν οὗτοι (οἱ ἀστέρες), καὶ περιέχει τὸ θεῖον τὴν ὅλην φύσιν. τὰ δὲ λοιπὰ μυθικῶς ἤδη προςῆκται πρὸς τὴν πειθὼ τῶν πολλῶν καὶ πρὸς τὴν εἰς τοὺς νόμους καὶ τὸ συμφέρον χρῆσιν· ἀνθρωποειδεῖς τε γὰρ τούτους καὶ τῶν ἄλλων ζῴων ὁμοίους τισὶ λέγουσι, καὶ τούτοις ἕτερα ἀκόλουθα καὶ παραπλήσια τοῖς εἰρημένοις. Ὧν εἴ τις χωρίσας, αὐτὸ λάβοι μόνον τὸ πρῶτον, ὅτι θεοὺς ᾤοντο τὰς πρώτας οὐσίας εἶναι, θείως ἂν εἰρῆσθαι νομίσειεν. Καὶ κατὰ τὸ εἰκὸς πολλάκις εὑρημένης, εἰς τὸ δυνατὸν, ἑκάστης καὶ τέχνης καὶ φιλοσοφίας, καὶ πάλιν φθειρομένων, καὶ ταύτας τὰς δόξας ἐκείνων (τῶν τεχνῶν καὶ φιλοσοφιῶν φθειρομένων) οἷον λείψανα περισεσῶσθαι μέχρι τοῦ νῦν. ἡ μὲν οὖν πάτριος δόξα καὶ ἡ παρὰ τῶν πρώτων ἐπὶ τοσοῦτον ἡμῖν φανερὰ μόνον.*

Mannheim,
Buchdruckerei von Heinrich Hogrefe.